ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΒΑΣΙΛΕΩΣ,

ΚΑΙ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΛΑΔΙΜΗΡΟΥ

ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

τυπωθεῖσα μὲν πρῶτον δαπάνῃ τοῦ τιμιωτάτου Κυρίου Ἰωάννου Παπᾶ τοῦ ἐκ τῆς πόλεως Νεοκάστρου·

νῦν δὲ ἀνατυπωθεῖσα κατὰ τὴν ἔκδοσιν τοῦ Γλυκὺ τοῦ 1774

ἀναλώμασι τῶν εὐσεβῶν Κυρίων

ΙΩΑΝΝΙΚΙΟΥ ΑΡΧΙΕΡΕΩΣ, ΓΡΗΓΟΡΙΟΥ ΗΓΟΥΜΕΝΟΥ, ΙΩΑΝΝΟΥ ΤΖΟΥΦΚΑ, ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΥΜΕΩΝΟΣ, ΑΘΑΝΑΣΙΟΥ ΙΑΚΩΒΟΥ, ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΥΙΟΥ ΙΩΑΝΝΟΥ ΚΡΟΥΝΙΤΣ, τῶν λεγομένων ΚΟΡΩΝΑ.



ΕΝ ΒΕΝΕΤΙΑ

ΕΚ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ.

1858

ΤΟΙΣ ΚΑΤΑ ΤΗΝ

ΠΟΛΙΤΕΙΑΝ ΝΕΟΚΑΣΤΡΟΥ,

Καὶ τοῖς λοιποῖς Ἐντευξομένοις

ΙΩΑΝΝΗΣ Ο ΠΑΠΑ ΤΟ ΧΑΙΡΕΙΝ ΕΝ ΚΥΡΙΩ.

Ἄγκαλὰ (ὦ φίλοι συμπατριῶται, καὶ λοιποὶ θεοσεβεῖς φιλομάρτυρες) δὲν δύναμαι ὅσον εἶμαι ὀφειλέτης νὰ ἀποδώσω τὴν εὐχαριστίαν εἰς τὸν κοινὸν εὐεργέτην, καὶ ἀντιλήπτορα τῆς ἡμετέρας Πατρίδος, καὶ πάντων τῶν μετὰ πόθου καὶ εὐλαβείας αὐτῷ προστρεχόντων, τὸν θαυματουργὸν λέγω, καὶ χαριτώνυμον Ἅγιον Γ'ωάννην, τὸν ἐκ Βλαδιμήρου· χρεωστῶ δ' ὅμως κατὰ τὸ δυνατὸν νὰ δείξω ἐκείνην τὴν θερμὴν εὐλάβειαν, ὁποῦ φυλάττω μέσα εἰς τὸ ταμεῖον τῆς ψυχῆς μου, καὶ διὰ ὅλους μὲν τοὺς Ἁγίους κοινῶς, ὡσὰν ὁποῦ εἶναι προστάται καὶ ὑπέρμαχοι μὲ τὴν πρεσβείαν τȣς ἔμπροσθεν τοῦ ὑψίστου Θεοῦ, ἐξαιρέτως δὲ διὰ τὸν ἐν βασιλεῦσι τοῦτον ἀθλοφόρον· ὅς τις ὢν μία ψυχὴ κεκαλλωπισμένη ἀπὸ χάριτας οὐρανίους, καὶ ἐνεργῶν εἰς τὰς χεῖράς του μᾶλλον τὸ ἀήττητον ὅπλον τοῦ ζωηφόρȣ Σταυροῦ, παρὰ τὸ σκῆπρον τῆς ἐπιγείου δυναστείας, ἐπροαιρέθη ἑκουσίως νὰ χύσῃ τὸ αἷμά του διὰ τὸν σταυρωθέντα Χριστὸν, καὶ νὰ λάβῃ τὸν στέφανον τοῦ Μαρτυρίου· ὅθεν καὶ ὁ ἀθλοθέτης Θεὸς τὸν ἐτίμησε, καθὼς ἐν Οὐρανοῖς, τοιουτοτρόπως καὶ ἐδῶ εἰς τὸν Κόσμον τοῦτον μὲ τὰ ἄπειρα θαύματα, ὁποῦ ἀποτελοῦνται καὶ γίνονται εἰς ἐκείνους ὁποῦ προστρέχουσιν εἰς τὸν Ναόν του, καὶ ἐπικαλοῦνται τὴν βοήθειάν του μετὰ πίστεως· τὰ ὁποῖα διὰ τὸ ἄπειρον πλῆθος σιωπῶ, καὶ ἀφίνω τȣ̀ς τεθεραπευμένους νὰ τὰ κηρύττωσιν, ὡσὰν ὁποῦ γίνονται ἀξιοπιστότεροι μάρτυρες μὲ τὴν πρᾶξιν, παρὰ μὲ τὸν λόγον. Ἐγὼ τȣ̃το μόνον δηλοποιῶ τοῖς πᾶσι, καθῶς καὶ ὅλοι τὸ ἠξεύρουσι καὶ εἶναι φανερὸν, πῶς ἐπειδὴ καὶ νὰ ἠξεύρω τὴν εὐλάβειαν καὶ τὸ σέβας, ὁποῦ φέρουσιν ὅλοι οἱ Χριστιανοὶ εἰς τοῦτον τὸν θαυματουργὸν Ἅγιον Ἰωάννην τὸν ἐκ Βλαδιμήρου, καὶ τὴν πολυάνθρωπον πανήγυριν, ὁποῦ γίνεται εἰς τὴν ἡμέραν τῆς Ἑορτῆς τȣ, μὲ τὸ νὰ συνάγωνται ὅλοι ἀπὸ τὰ πέριξ ἐκεῖσε χωρία κατ' ἐκείνην τὴν ἡμέραν,

νὰ πανηγυρίζουσι μὲ ὁλονύκτιον δέησιν, ἔγραψα πρός τε τὸν πανιερώτατον καὶ σοφώτατον πρῴην Μητροπολίτην τῆς κατὰ Κύπρον ἐπαρχίας Κυτιαίων Κύριον Κοσμᾶν, ἄνδρα διδάσκαλον καὶ ἐνάρετον, ὁποῦ ἐπιστατεῖ τὴν Μονὴν τοῦ Ἁγίου, καὶ τοὺς ἡμετέρους συμπατριώτας, παρακαλῶν αὐτοὺς νὰ μοῦ πέμψωσι τὴν Ἀκολουθίαν τοῦ Ἁγίου μὲ τὸν βίον του, ὁποῦ εὑρίσκεται, διὰ νὰ τὴν δώσω εἰς τύπον, νὰ εἶναι εἰς χρῆσιν τῶν ψαλλόντων Ἱερέων· τὴν ὁποίαν πέμποντες, καὶ διορθώνοντες ἐδῶ εἰς τὰ ἐλλείποντα οἱ περὶ ταῦτα δεινοί, οὕτω τὴν ἔβαλα εἰς τύπον, καθὼς φαίνεται, δεικνύων τὸ χρέος ὁποῦ ἔχω εἰς αὐτὸν τὸν Θαυματουργὸν Ἅγιον, διὰ τὰ ἄπειρα θαύματα, καὶ τὰς ἀμέτρους θεραπείας, ὁποῦ κάμνει εἰς τὴν ἐμὴν Πατρίδα. Παρακαλῶ δὲ πρῶτον τὸν πανιερώτατον Κύριον Κοσμᾶν, καὶ τοὺς ἐκεῖσε κατοικοῦντας Πατέρας νὰ δεχθῶσιν αὐτὰ τὰ Βιβλία, ὁποῦ ἐτύπωσα, καὶ τὰ πέμπω εἰς τὴν Μονὴν αὐτήν· ἀπὸ τῶν ὁποίων ἂς κρατήσωσι μερικά, διὰ νὰ ψάλλωσι τὴν Ἀκολουθίαν κατ' ἔτος. Ἄλλα δὲ πάλιν ἂς δώσωσιν εἰς τὰς ἐπαρχίας τοῦ κλίματος τῆς Ἀρχιεπισκοπῆς Ἀχρίδος, ἢ καὶ ἀλλοῦ ὅπου κάμῃ χρεία εἰς πρόσωπα θεοσεβῆ, ὁποῦ νὰ ἔχωσι πόθον καὶ εὐλάβειαν εἰς τὸν Ἅγιον, διὰ νὰ κηρυχθῇ καὶ εἰς ἄλλους τόπους τὸ ὄνομα, καὶ τὰ θαύματα τοῦ Ἁγίου τούτου, καὶ τὸ περισσότερον νὰ δοξάζεται ὁ Θεὸς ὁ θαυματουργῶν ἐν τοῖς Ἁγίοις πανταχοῦ. Τοὺς δὲ Πατέρας τῆς ἁγίας Μονῆς ἐκείνης καθικετεύω ὅπως δέωνται τοῦ Θεοῦ καὶ τοῦ θαυματουργοῦ Ἁγίου Ἰωάννου, ἵνα πρεσβεύῃ εἰς αὐτὸν, διὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ τῶν ἐμῶν γονέων. Δεχθῆτε λοιπὸν τὴν προθυμίαν μου ὅσοι ἀναγνώσετε τὴν Ἀκολουθίαν τοῦ Ἁγίου, καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ οἱ ἀναγινώσκοντες.

Ἔρρωσθε.



Λιθογραφία βραβευθεῖσα τοῦ Βαρότσι καὶ Κορραδίνη.

ΤΟ ΤΩΝ ΧΑΡΙΤΩΝ ΧΑΡΙΤΩΝΥΜΟΝ ΚΛΕΟΣ, ΙΩΑΝΝΗΣ ΠΑΣΗΣ ΑΛΒΑΝΙΑΣ ΚΑΙ ΒΟΥΛΓΑΡΙΑΣ ΕΥΣΕΒΗΣ ΒΑΣΙΛΕΥΣ, Ο ΘΑΥΜΑΤΟΥΡΓΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ Ο ΧΑΡΙΤΟΒΡΥΤΟΣ, ΚΑΙ ΟΝΤΩΣ ΜΥΡΟΒΛΥΤΗΣ, Ο ΒΛΑΔΙΜΗΡΟΣ.



ΜΗΝΟΣ ΜΑΪΟΥ ΚΒ'.

ΨΑΛΛΟΜΕΝ ΤΗΝ ΑΚΟΛΟΥΘΙΑΝ

ΤΟΥ ΑΓΙΟΥ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΛΑΔΙΜΗΡΟΥ

ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν τὰ παρόντα Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἐξήστραψε σήμερον ἡμῖν, θεαυγὴς πανήγυρις, τοῦ θαυμαστοῦ ἐν τοῖς Μάρτυσι, γενναίου ἀθλητοῦ, καὶ σημειοφόρου, Ἰωάννȣ ἄνακτος, οὗ τὰς θαυματουργίας ὑμνήσωμεν, ἐκ τῆς σοροῦ αὐτοῦ, ῥῶσιν Θείαν ἀρυόμενοι, πάσης νόσου, καὶ κινδύνων λύτρωσιν.

Ἀστὴρ παμφαέστατος δειχθεὶς, καὶ ἀειλαμπέστατος, τερατουργὸς ὑπερθαύμαστος, πᾶσιν ἐξέλαμψας, τὰ τῶν Ὀρθοδόξων, ἱερὰ συστήματα, λαμπρύνων καὶ φρουρῶν ταῖς πρεσβείαις σου, κλεινὲ Βλαδίμηρε· διὰ τοῦτο σὲ γεραίρομεν, εὐφημοῦντες τοὺς λαμπροὺς ἀγῶνάς σου.

Ὡς Ἄγγελος ὤφθης ἐν σαρκὶ, ἐγκρατὴς καὶ Ὅσιος, τοῦ Βαπτιστοῦ ὡς ἐπώνυμος· ὅθεν ἠξίωσαι, ἀετοῦ ἐν εἴδει, ἰδεῖν Θεῖον Ἄγγελον, δεικνύοντα Σταυρὸν, χαριτώνυμε, δι' ὅνπερ ἤθλησας, ὑπ' ἀνόμων κεφαλὴν τμηθεὶς, διὰ ζῆλον Ὀρθοδόξου Πίστεως.

Δόξα. *Ἦχος πλ. α'.*

Συνδράμωμεν ἀδελφοὶ, καὶ μετὰ πόθου προσέλθωμεν, ἐν τῷ σεπτῷ τεμένει τοῦ σημειοφόρȣ βασιλέως, καὶ μεγαλομάρτυρος, τοῦ σοφοῦ Βλαδιμήρου· καὶ τὴν θαυμαστὴν μυροθήκην, τοῦ σκήνους αὐτοῦ τιμῶντες, εὐφροσύνως πανηγυρίσωμεν, καὶ ἐγκωμιαστικῶς αὐτὸν ᾄσμασι μέλψωμεν· χαίροις Ἀνάκτων τὸ κλέος, καὶ τῶν Μαρτύρων ὁμόσκηνε, τῆς Βουλγαρίας τὸ καύχημα, Ἰλλυρικοῦ καὶ Μυσίας ὁ προστάτης, φρουρὲ Ἀλβανίας, καὶ θαυματουργὲ

ἀντιλήπτωρ, Ἰωάννη πανένδοξε, ὁ ὑπὲρ Χριστοῦ τὴν κάραν ἐκτμηθεὶς ὑπὸ τῶν ἰδίων συγγενῶν, καὶ ταύτην θαυμασίως ταῖς οἰκείαις χερσὶ τῷ βασιλεῖ τῶν αἰώνων προσκομίσας θυσίαν ἄμωμον, ὡς ὁλοκάρπωμα ἱερὸν, καὶ δῶρον πολύτιμον· διὸ παμμάκαρ μυροβλύτα πανθαύμαστε, ὡς παῤῥησίαν ἔχων, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων τὴν ἱερὰν, καὶ πανέορτον μνήμην σου.

Καὶ νῦν. Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Εἰς τὸν Στίχον Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Φέρων ἐν ταῖς χερσὶ, παμμάκαρ τὴν σὴν κάραν, τμηθεῖσαν ὑπ' ἀνόμων, τοῦ Μαρτυρίου στέφος, ἐδέξω ὦ Βλαδίμηρε.

Δίκαιος ὡς φοίνιξ.

Τῷ ὅπλῳ τοῦ Σταυροῦ, δυσμενῶν παρατάξεις, ἐσκόρπισας γενναίως, καὶ νικητὴς ἐδείχθης, ἀθλήσας πανοαοίδιμε.

Εὐφρανθήσεται.


Ἡ Λάρναξ τοῦ σεπτοῦ, καὶ μυροβλύτου πάλαι, ἰδοὺ εὐωδιάζει, ἐτήσιον τὴν χάριν, τοῖς προσιοῦσι νέμουσα.

Δόξα. Ὅμοιον.

Τριάδα τὴν σεπτὴν, καὶ θεαρχίαν πάντες, Πατέρα, καὶ Υἱόν τε, καὶ Πνεῦμα ὀρθοδόξως ὑμνοῦμεν τὸ πανάγιον.

Καὶ νῦν.

Ἄνωθεν οἱ χοροὶ, Θεοτόκε Παρθένε, ὑμνοῦσι σὺν τοῖς κάτω, μετὰ τοῦ ἀθλοφόρου, τὸν τόκον σου τὸν ἄχραντον.



ΕΝ ΔΕ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Στιχολογοῦμεν τὸ, Μακάριος ἀνὴρ, ψάλλοντες καὶ τὰ ἀνοιξαντάρια. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς'. καὶ ψάλλομεν τὰ παρόντα.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὥσπερ δένδρον κατάκαρπον, νοητῶς ἀνεβλάστησας, ἐν λιμῶνι πάντιμε, τῆς ἀθλήσεως· ἐκπέμπων Θεῖα χαρίσματα, πηγάς τε ἰάσεων, τῆς πανσέπτου σου σοροῦ, ἐξ ἧς πάντες ἀῤῥύονται, ῥῶσιν σώματος, ἀθλητῶν ὡραιότης Ἰωάννη· διὰ τοῦτό σε τιμῶμεν, ὡς πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Τὸν φιλοῦντά σε Κύριον, ὑπὲρ φύσιν ἐφίλησας, καὶ σαρκὸς ἐμίσησας ἡδυπάθειαν· καὶ τῷ Χριστῷ ἠκολούθησας, ἐπ' ὤμων ἀράμενος, μάρτυς χαίρων τὸν Σταυρὸν, καὶ πρὸς βίαιον θάνατον, προσεχώρησας· διὰ τοῦτο παμμάκαρ εὐφημοῦμεν, ἐν ψαλμοῖς καὶ ὑμνῳδίαις, τὴν φωτοφόρον σου ἄθλησιν.

Ὡς καλῶς στρατευσάμενος, Βασιλεῖ τῶν δυνάμεων, σεαυτὸν Βλαδίμηρε παραδέδωκας, ἐθελουσίως εἰς μάχαιραν, βαλὼν τὸν αὐχένα σου, ἐπαγόμενος χοροῖς, τῶν Μαρτύρων Μακάριε· ἠξιώθης γὰρ, καὶ τῆς νίκης δεχθῆναι τοὺς Στεφάνους, μεθ' ὧν νῦν καθικετεύεις, ὑπὲρ ἡμῶν θαυματόβρυτε.

Ἕτερα ὅμοια, Ἦχος ὁ αὐτός.

Ἐκ Βουλγάρων ἐξήνθησας, Ἰωάννη Μακάριε, ὥσπερ ῥόδον εὔοσμον καὶ μυρίπνοον, καὶ τῷ Θεῷ εὐηρέστησας, νηστείας δεήσεις τε, καὶ ἀγρύπνους προσευχὰς, τῷ Κυρίῳ ἀνέπεμπες, ἐκ καρδίας σου, καθαρᾶς καὶ ἁγίας διὰ τοῦτο, συνελθόντες εὐφημοῦμεν, τὰς ἀριστείας σου ἔνδοξε.

Θηρεῷ εὐσεβείας σε, θωρακίσας ὁ Κύριος, δυνατὸν εἰργάσατο, πρὸς παράταξιν, τῶν δυσμενῶν ἐξερχόμενον. Ἰωάννη ἔνδοξε· οὓς τῷ ξίφει τῆς ἐν σοὶ, καρτερίας Βλαδίμηρε, κατηφάνισας, τὰς αὐτῶν βασκανίας, καὶ τῆς νίκης, ἀνεδύσω τοὺς Στεφάνους, σημειοφόρε πανθαύμαστε.

Βασιλείας ἐλάμπρυνας, τὴν στολὴν ὄντως αἵμασι, Μαρτυρίου ἔνδοξε, καὶ κατηύγασας· καὶ τῶν αἱρέσεων ἅπασαν, ἀχλὺν ἀπεδίωξας, καὶ ἐφώτισας λαοὺς, σαφηνίζων τὰ δόγματα, θείας χάριτος, ὀρθοδόξως πιστεύειν ἐν Τριάδι, μίαν φύσιν ἀμερίστως, τρισὶ προσώποις ὑπάρχουσαν.

Δόξα. Ἦχος δ'.

Ἐξέλαμψας ἔνδοξε, ὥσπερ ἀστὴρ ἑωσφόρος ἐν τῇ γῇ τῶν Ἰλλυριῶν, Ἰωάννη πανένδοξε· καλῶς γὰρ καὶ δικαίως βασιλεύσας, καὶ τὸν Σταυρὸν τοῦ Κυρίου σου ἐπ' ὤμων ἀράμενος, Χριστῷ ἠκολούθησας, ὡς φίλος γνήσιος Θεοῦ. Διὸ αἰτοῦμέν σε Ἅγιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰδὲ μὴ τύχῃ τῆς Ἑορτῆς, Θεοτοκίον, Ὁ διὰ σὲ Θεοπάτωρ· τὸ Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας,

καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα, καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται

ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Στιχηρά. Ἦχος α'.

Μαθητὴς καὶ ὀπαδὸς γεγενημένος, τῶν τῆς ὁμοουσίου Τριάδος ὁμολογητῶν καὶ κηρύκων, καὶ σὺν αὐτοῖς ὑπὲρ εὐσεβείας διωκόμενος, τὸν διὰ ξίφους θάνατον Ἰωάννη Μακάριε ὑπέστης, τὰς τῶν αἱρετικῶν γλωσσαλγίας καταβαλλόμενος· ὅτι καὶ μαρτυρικοῖς στεφάνοις ἐκοσμήθης παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ παρρησίαν ἔλαβες πρεσβεύειν, τοῦ ῥυσθῆναι ἐκ κινδύνων, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Ἦχος β'.

Δεῦτε πιστοὶ τιμήσωμεν, τὸν ἀθλοφόρον τοῦ Χριστοῦ Ἰωάννην τὸν ἔνδοξον, ὡς γενναῖον στρατιώτην, τὸν καλῶς ἀγωνισάμενον ὑπὲρ τῆς Εὐσεβείας, βασιλέων καὶ τυράννων τὸ κράτος καταβαλλόμενον. Διὸ παῤῥησίαν ἔχων πρὸς Θεόν, ἀκαταπαύστως πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Τοῦ εὐσεβοῦς Ἰωάννου ἡ μνήμη, μύρον ἐκκενούμενον σήμερον ἀνέτειλε. Τὸν Χριστὸν γὰρ ποθήσας, εἰδώλων πλάνην κατεφρόνησε· καὶ ναὸν ἐγείρας ἐπὶ γῆς, τῷ σταυρωθέντι δι' ἡμᾶς, ἐν οὐρανοῖς ἀπέλαβε τὸν τῆς ἐλπίδος στέφανον.

Ὁ αὐτός.

Τῇ χαριτωνύμῳ σου κλήσει τὴν πρᾶξιν κατάλληλον ἔδειξας ὡς ἀληθῶς. Τῇ παρθενικῇ σου καθαρότητι ᾠκειώθης τῷ Χριστῷ, εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος· Μαρτυρίου δὲ παλαίσμασι τῶν ἡλιακῶν ἀκτίνων λαμπρότερον ὑπερήστραψας· διὸ ὡς θυσία καθαρὰ καὶ ἄμωμος, τῇ Οὐρανίῳ προσηνέχθης τραπέζῃ, μετὰ Παρθένων καὶ Μαρτύρων εἰς αἰῶνας συνη-

δόμενος· μεθ' ὧν αἴτησαι Ἰωάννη πανεύφημε, δωρήσασθαι ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β'.

Δεῦτε ἅπαντες Πιςοὶ συνελθόντες εὐφημήσωμεν σήμερον, Ἰωάννην τὸν σημειοφόρον. Οὗτος γὰρ τὴν ἐπίγειον Βασιλείαν ἀπώσατο, καὶ τὰ ὄντα ὡς οὐδὲν ἐλογίσατο· τὸ ὅπλον τοῦ Σταυροῦ ἐνδυσάμενος, Χριστῷ ἠκολούθησε, καὶ τῆς ἀπεράντου βασιλείας τῶν Οὐρανῶν ἠξιώθη ἀπολαβεῖν, ὡς πιστὸς δοῦλος Θεοῦ Παντοκράτορος. Διὸ αἰτοῦμέν σε Ἅγιε, πρόφθασον ἐξελοῦ ἡμᾶς ἀπὸ παντοίας ἀνάγκης τῶν ἐπεμβαινόντων πειρασμῶν, καὶ τῆς μελλούσης κρίσεως, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰδὲ βούλει, Θεοτοκίον. Εἰς τὸν Στίχ. τοῦ Ἁγίου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὄχλοι ἐξεπλήττοντο, θαῦμα φρικτὸν καθορῶντες, σὲ νεκρὸν καθήμενον, εὐκλεὲς Βλαδίμηρε, ἐφ' ἡμίονος, ἐν χερσὶ φέροντα, τὴν ἀποτμηθεῖσαν, κεφαλήν σου τὴν ἐρίτιμον, ἥνπερ προσήνεγκας, εἰς ναὸν Κυρίου εὐξάμενος, ψυχήν σου τὴν Ὀρθόδοξον, παραθεὶς Θεῷ τῷ Παντάνακτι· ἣν λαβὼν συνῆψεν, Ἀγγέλων καὶ Ἁγίων τοῖς χοροῖς, τρυφᾶν ἀεὶ φῶς τὸ ἄδυτον, τρισηλίου λάμψεως.

Δίκαιος ὡς φοίνιξ.

Ἄλλος ὤφθης ἥλιος, ἐν Βασιλεῦσιν ὦ Ἄναξ, ἀθλητὰ Βλαδίμηρε, ἐν τῷ στερεώματι Θείας Πίστεως, νέμων φῶς χάριτος, τοῖς προσερχομένοις, ὁλοψύχως ἐν τῇ σκέπῃ σου· σὲ γὰρ ἐν θαύμασι, ζῶντα, καὶ θανόντα ἐδόξασε, καὶ ἰατῆρα ἔδειξε, τοῖς προσκαλουμένοις σὸν ὄνομα, ὁ πάντων ἀνάκτων, ταχέως εἰσακούων καὶ διδοὺς, ἑνὶ ἑκάστῳ τὸ αἴτημα, θείαις σου ἐντεύξεσιν.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Δεῦτε προσκυνήσωμεν, λαὸς ἐν οἴκῳ Κυρίου, ὅπου τὸ Πανάγιον, σκῆνος τεθησαύρισται, τοῦ παμμάκαρος· ᾠ τερπνοῖς ᾄσμασι, καὶ φαιδραῖς λαμπάσι, λιτανεύοντες βοήσωμεν· Ἅγιε πρόφθασον, καὶ τοὺς ἐν ἀνάγκαις ἐλέησον, καὶ κλύδωνος ἐξάρπασον, καὶ τῆς καταιγίδος τῶν θλίψεων· ἵνα τὴν τερπνήν σου, καὶ πάντιμον δοξάζωμεν σορὸν, ὦ Ἰωάννη Μακάριε, ῥύστα ἑτοιμότατε.

Δόξα. Ἦχος πλ. β'.

Ἀδαμάντινε τὴν ψυχὴν, ἀθλητικώτατε Ἄναξ, Ἰλλυρικοῦ τὸ κλέος, καὶ Βουλγαρίας τὸ ἐγκαλώπισμα· ἡ βρύσις τῶν θαυμάτων, καὶ τῶν Πιστῶν ἀντιλήπτωρ ὁ μέγιστος. Σὺ γὰρ τὸ κραταιότατον ὅπλον τοῦ Σταυροῦ παρὰ Θεοῦ εἰληφὼς, τῶν Αἱρετικῶν τὰς φάλαγγας γενναίως συνέτριψας, καὶ τὴν Ὀρθόδοξον πίστιν ἐν γῇ Βουλγάρων ἐπήυξησας· διὸ ὡς ἡμῶν φρουρὸς καὶ προςάτης θερμότατος, πρόφθασον ταῖς λιταῖς σου παμμακάριστε Ἰωάννη Βλαδίμηρε, καὶ ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, ὡς παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Ὁ ποιητὴς καὶ Λυτρωτής.

Ἀπολυτίκιον, Ἦχος δ'.

Σταυρὸν τὸν ὀφθέντα σοι, ἐξ οὐρανοῦ τηλαυγῶς, τοῖς πᾶσιν ἐκήρυξας, φωτίσας ἔθνη τρανῶς, Βλαδίμηρε ἔνδοξε· λύθροις τῶν σῶν αἱμάτων, φαιδρυνθεὶς ἠξιώθης, βραβείων τῶν ἀκηράτων, παρεστὼς τῇ Τριάδι· διὸ ἐν παῤῥησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

Καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων, καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν Α'. Στιχολογίαν, Καθίσματα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἐκ τόπου θαυμαστῶς, τῶν Βουλγάρων ἐξῆλθες, τοῦ Πνεύματος ὀφθεὶς, καθαρώτατον σκεῦος, Μαρτύρων τὸ καύχημα, καὶ στεφάνων ἀξίωμα· ὅθεν αἴτησαι τὸν σὸν Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν σὲ ὑμνούντων παμμάκαρ, Ἰωάννη πανθαύμαςε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Μητέρα σε Θεοῦ, ἱκετεύομεν πάντες, Παρθένον ἀληθῶς, ἐν οἰκτιρμοῖς σοι βοῶμεν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην παναμώμον.

Μετὰ τὴν Β'. Στιχολογίαν, Καθίσματα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου μάκαρ φορῶν ἐν κρυπτῷ ὡς ἐπόθης μαρτυρικῷ, Στεφάνῳ κεκόσμησαι, Βασιλεῦ παναοίδιμε, τοῦ οὐρανίου Ἄνακτος Χριςοῦ τοῦ Θεοῦ ἡμῶν· Ὅθεν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένος, ἀπαύστως Βλαδίμηρε, Ἰωάννη πανθαύμαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τῷ φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου, ἐλθεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, γαλήνην παρέχουσα· εἰς λιμένα σου ἔδραμον, Θεοτόκε βοήθει μοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὸν Πολυέλεον, Καθίσματα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰ ἐπίγεια πάντα καταλιπών, Βασιλείαν ἐπόθεις τῶν οὐρανῶν, Χριστῷ ἠκολούθησας, τῶν Μαρτύρων συμμέτοχε· τὰ γὰρ παρόντα πάθη νεκρώσας τοῦ σώματος, καὶ τὸν Σταυρὸν ἐπάρας, ὁπλίτα Μακάριε, νόσους θεραπεύεις ἀνιάτους νοσούντων. Σταυροῦ τῇ δυνάμει γὰρ ἀπελαύνεις καὶ χάριτι, Ἰωάννη Μακάριε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτως ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου. Σὺ γὰρ ὤφθης σκέπη ὁμοῦ καὶ ἀντίληψις, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα· ὅθεν ὡς ἐκ μέσου, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Εἶτα, οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ δ'. Ἤχου.

Προκείμενον, Ἦχος δ'.

Δίκαιος ὡς φοίνιξ. Στίχ. Εὐφρανθήσεται δίκαιος.

Τὸ. Πᾶσα Πνοή. Εὐαγγέλιον. Καὶ Ν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. — Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, Ἐλέησόν με ὁ Θεός. Ἦχος β'.

Παμμάκαρ Ἰωάννη, Μαρτύρων τὸ κλέος, καὶ καύχημα Βασιλέων, μιμητὴς ἐγένου τοῦ Βαπτιστοῦ πανένδοξε· διὰ φθόνον τῆς σῆς συζύγου, τὴν κεφαλήν σου ἔτεμον οἱ ἀπηνεῖς σου συγγενεῖς, καὶ ἀναίσχυντοι· καὶ τὴν κάραν σου δεχθεὶς ἰδίαις χερσίν, εἰς τόπον εἰσῆλθες ἐν ᾧ τὸν θησαυρὸν εὗρες ἐν κρυπτῷ τῆς αἰωνίου βασιλείας. Καὶ νῦν αἴτησαι ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

Εἶτα οἱ Κανόνες· ἐὰν τύχῃ ἑορτή, προηγεῖται ὁ Κανὼν τῆς Ἑορτῆς· εἰ δὲ οὐ τύχῃ ἑορτή, ψάλλομεν τὸν Κανόνα τῆς Θεοτόκου, τὸν πλ. δ'. Πολλοῖς συνεχόμενος πειρασμοῖς. Καὶ οἱ Κανόνες τοῦ Ἁγίου οἱ δύο, ὁ δ'. καὶ ὁ πλ. β'. Ὁ δ'. Κανών, οὗ ἡ Ἀκροστιχίς· Τὸν δίκαιον ὑμνῶ Ἰωάννην Δεσπότην.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Τὸν Θεῖον καὶ ἀθλοφόρον σήμερον, ὕμνοις τιμήσωμεν, τὸν Ἰωάννην ἅπαντες Πιστοί, συνελθόντες δοξάσωμεν· ὅτι Χριστῷ δεδούλευκεν, ὡς καθαρὸς καὶ φίλος γνήσιος.

Ὁ πάσας τὰς ἀρετὰς προβλέπων σου, Θεὸς τὸ πρὶν ἐν κρυπτῷ, ἃς ἐκτελῶν θεόφρων ἀθλητά, τοῖς χοροῖς τῶν δικαίων σε, συγκατατάττει ἔνδοξε, μετὰ ἁγίων εὐφραινόμενον.

Νυμφῶνα τὸν ἐπὶ γῆς Μακάριε ἀποσειόμενος, μαρτυρικὴν ὑπέφερες πληγήν, Ἰωάννη Βλαδίμηρε. Διὸ ἡμεῖς οἱ δοῦλοί σου, ἀνευφημοῦμέν σε πανάριστε. Θεοτοκίον.

Δεήσεις ἱκετηρίας Ἄχραντε, νῦν σοι προσάγομεν· δίδου ἡμῖν ἐξ ὕψους ἀγαθή, τὰ ἐλέη σου πάναγνε, ἱκετικῶς δεόμεθα, Θεομακάριστε ἀνύμφευτε.

Ἕτερος Κανών.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τίς τῶν θαυμάτων ἐξείποι τὰς δωρεάς, ἃς Χριστὸς παρέσχε σοι, Ἀθλοφόρε τοῦ Χριστοῦ, Ἰωάννη ἔνδοξε; διὸ καταλάμπεις ὡς φωστὴρ ἀξιοθαύμαστε.

Ὅλην σου ἔχων ἐλπίδα πρὸς τὸν Θεόν, μάκαρ καὶ διάνοιαν, τῶν προσκαίρων καὶ φθαρτῶν, ὅλως οὐκ ἐφρόντισας· διὸ καὶ τὸ στέφος ἐκ χειρὸς Κυρίου δέδεξαι.

Νῦν εἰς τὰ ἄνω ταμεῖα τὴν σὴν ψυχήν, ὁ Χριστὸς καθίστησι γενναιόφρον ἀθλητά· θησαυροῖς γὰρ ταύτην τοῦ Πατρός, ἐναπέθετο ἐκεῖ, συμβασιλεύειν ἀεί. Θεοτοκίον.

Νύμφη Θεοῦ Παναγία Χριστιανῶν, τεῖχος ἀπροσμάχητον, τοὺς ὑμνοῦντάς σε ἀεί, ἐκ παντοίων λύτρωσαι δεινῶν, καὶ πταισμάτων χαλεπῶν, Θεογεννῆτορ Ἁγνή.

Ὁ Εἱρμός.

Εἰ μὲν οὐκ ἔστι τῆς Ἑορτῆς. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἰάτρευσας τοὺς πιστῶς, ἐν τῷ τεμένει σου σοφὲ σπεύδοντας, κινδύνων αὐτοὺς καὶ θλίψεων, τῶν προσερχομένων λυτρούμενος.

Καλῶς καὶ θεοσεβῶς, σὺ βασιλεύσας ἐπὶ γῆς, ἔμπλεως θείου φωτὸς γεγένησαι, οὗ νῦν ἀπολαύεις γηθόμενος.

Α'γίοις ἐν οὐρανοῖς, συναυλιζόμενος Χριστῷ πρέσβευε, νέμειν ἡμῖν τὴν ἄφεσιν, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ι'δόντες σου οἱ λαοὶ, τὰς τῶν θαυμάτων δαψιλεῖς χάριτας, Μήτηρ Θεοῦ Θεόνυμφε, πόθῳ σε δοξάζομεν Ἄχραντε.

Ἕτερος. Οὐκ ἔστιν Ἅγιος.

Ε'πὶ τὴν ἄσειστον Χριστοῦ, πέτραν τῶν ἐντολῶν σεαυτὸν στερεώσας οὐδ᾽ ὅλως, ἐσαλεύθης τῷ νοΐ· διὸ Μαρτύρων χοροῖς, ἠριθμήθης Μάρτυς ἀξιάγαστε.

Ο῞λον τὸν ἔρωτα Χριστοῦ, ἔχων ἐν τῇ καρδίᾳ, τὰς ἐκ τόπου εἰς τόπον, ἀμειβὰς ὦ ἀθλητὰ, ὑπέφερες καρτερῶς· Ἰωάννη ὅθεν νῦν δεδόξασαι.

Νυνὶ εὐφραίνεται πιστῶς, πόλις ἡ Δυῤῥαχίου, Τριβαλλῶν ἔνθα κεῖται, σῶμά σου τὸ ἱερὸν, Μακάριε τὰς ἐκεῖ, νόσους πάντων ἀσθενῶν ἰώμενον.

Θεοτοκίον.

Υ῾Πάρχεις γέφυρα Ἁγνὴ, Θεοτόκε Παρθένε, πρὸς οὐράνιον τρίβον, ὁδηγοῦσα τοὺς πιστῶς, ἀνευφημοῦντας ἀεὶ, τὸν σὸν τόκον μόνη Ἀειπάρθενε.

Κάθισμα, Ἦχος α᾽. Τὸν τάφον σου Σωτήρ.

Ε'ξέλαμψεν ἡμῖν, τοῦ δικαίου ἡ μνήμη, ὡς ἥλιος ἐν γῇ, τὰς ἀκτῖνας ἁπλοῦσα, τοῖς πέρασι καὶ ἅπαντας, ὀρθοδόξους συνήγειρεν, ἐκτενῶς αὐτῷ, ἐν κατανύξει καρδίας, ἀνακράζοντας· Ἄναξ ἀνάκτων τὸ κλέος, πιστῶς σε μακαρίζομεν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὸν πάντων ποιητὴν, καὶ Υἱόν σου καὶ κτίστην, πανάμωμε Ἁγνὴ, διὰ Πνεύματος Θείου, ἐν Μήτρᾳ συνέλαβες, καὶ φθορᾶς δίχα τέτοκας· ὃν δοξάζοντες, σὲ ἀνυμνοῦμεν Παρθένε, ὡς παλάτιον, τοῦ βασιλέως τῆς δόξης, καὶ Κόσμου προσφύγιον.

Καὶ γίνεται ἀνάγνωσις.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝ ΒΑΣΙΛΕΥΣΙ

ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΙΩΑΝΝΗΝ

ΤΟΝ ΣΗΜΕΙΟΦΟΡΟΝ ΜΥΡΟΒΛΥΤΗΝ,

ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΒΛΑΔΙΜΗΡΟΝ.

Εὐλόγησον Πάτερ.

Συγκαλεῖ σήμερον ἡμᾶς, ὦ θεῖον καὶ ἱερὸν σύστημα τῶν φιλεόρτων, χριστεπώνυμον ἄθροισμα, ὁ φιλόστοργος οὗτος ἐν Βασιλεῦσι καλλίνικος Μάρτυς τῆς ἀληθείας, Ἰωάννης ὁ Βλαδίμηρος, εἰς τὸ μέγα τοῦτο καὶ πνευματικὸν καὶ πανίερεν τέμενος· ἐφέλκεται πρὸς ἑαυτὴν ἡ ἐτήσιος καὶ εὔσημος ἑορτὴ τὰ φιλόχριστα πλήθη, εὐεργετεῖν συνήθως ἐθέλουσα· ἐπέστη τῆς ἱερᾶς καὶ χαριτωνύμου μνήμης ὁ καιρὸς, θείων δωρεῶν γινόμενος πρόξενος. Διὸ τὸ σεβασμιώτατον καὶ μυρόβλυτον τοῦ θαυματουργοῦ Βλαδιμήρȣ Ἅγιον σκῆνος περικυκλοῦντες, πάντες πνευματικῶς εὐφρανθῶμεν. Σὺν ἡμῖν χαίρουσιν Ἄγγελοι, Οὐρανοὶ ἀγάλλονται, τὰ πέρατα χορεύουσι, Βουλγαρία σὺν τῷ Ἰλλυρικῷ, πᾶσά τε Ἀλβανῶν χώρα χαρμοσύνως πανηγυρίζει· τὰ ἐπίγεια πάντα τοῖς οὐρανίοις σήμερον ἀναμὶξ γίνεται· τὰ ἄνω τοῖς κάτω συνεορτάζει, πάντα τῆς εὐφροσύνης μετέχει, πάντα τῇ δόξῃ τοῦ Ἰωάννου συγχαίρει, πάντα δοξολογίαν προσφέρει, καὶ αὐτοὶ οἱ Προφῆται συμφώνως μετ᾽ ᾠδῆς συγκροτοῦσι· καὶ ὁ μὲν βοᾷ, Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ· ἄλλος ὑμνεῖ, Θαυμαςὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ· ἕτερος κράζει, Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων. Ὁ μὲν, Μνήμη δικαίȣ μετ᾽ ἐγκωμίων, ἀναφωνεῖ· καὶ ἕτερος, Τοὺς δοξάζοντάς με δοξάσω, λέγει Κύριος· καὶ ἄλλος κελαδεῖ, Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. Ὁ μὲν τοῖς φιλοχρίστοις λαοῖς διακελεύεται· Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου· ὁ ἄλλος τῷ ὕμνῳ ὑπακούει λέγων, Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Ὁ μὲν τὸν Μάρτυρα εὐφημεῖ λέγων, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται· ἄλλος τοῖς ἀσθενέσι φωνεῖ, Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Τούτων δὲ πάντων ὑπόθεσις, ὁ θαυμασιώτατος καὶ μυροβλύτης, ὁ βασιλεὺς τῆς Βουλγαρίας καὶ τοῦ Ἰλλυρικοῦ χρηματίσας, τοῦ προαιωνίου Λόγου Μάρτυς ὁ ἀξιόπιστος, Ἰωάννης ὁ χαριτεπώνυμος, ὃν ἡμεῖς σήμερον ὑμνεῖν βουλόμεθα μὲν, οὐ δυνάμεθα δὲ, ἀλλ' ὅσον ἐπιχειρίσομεν, τοσοῦτον τῆς ἀξίας ἐλλείπομεν. Τοὺς γὰρ ὑπὲρ ἄνθρωπον ζήσαντας, πῶς ἄνθρωποι ἐπαξίως τιμήσωμεν; καὶ μάλιςα Μάρτυρας, μᾶλλον δὲ τὸν ἐκ Βλαδιμήρου ἀειλαμπέστατον ἐκλάμψαντα μέγιστον φωστῆρα, τῆς οἰκουμένης τὸ καύχημα, τὸ τῆς Ἐκκλησίας ἀγλάϊσμα, τοῦ Σταυροῦ τὸν πρόμαχον, τὸν τῆς ἀληθείας ὑπέρμαχον, Ἰωάννην τῶν τοῦ Χριςοῦ Βασιλέων, καὶ ςρατιωτῶν ὅπλον ἀήττητον. Ἰωάννης τὸ τῆς εὐσεβοῦς βασιλείας διάδημα. Ἰωάννης ὁ τῶν ἀσθενούντων καὶ θλιβομένων ἑτοιμότατος ἰατὴρ καὶ παρακλήτωρ. Ἰωάννης καταπονουμένων ὁ ἔκδικος, καὶ ψευδομένων ὁ ἔλεγχος. Ἰωάννης ἡ ἡμετέρα παραμυθία, ἡ εὐπορία τῶν στερουμένων, τῶν ὀρφανῶν ὁ προστάτης, χηρῶν ὁ τροφεὺς, φύλαξ τοῦ ποιμνίου, ἅλωνος ἡ εὐλογία, τῶν ἀμπέλων ἡ εὐφορία, τῶν αἰχμαλώτων ἡ προστασία, τῶν πολεμουμένων τὸ τεῖχος, τῶν πεινώντων ὁ χορτασμὸς, τῶν Βογομίλων, τῶν Αἱρετικῶν, Μασσαλιανῶν ἡ κατάλυσις, ἡ τῆς πλάνης καθαίρεσις, καὶ τῆς πίστεως ἀνόρθωσις. Οὗτος παρὰ τῶν ἀθέων Αἱρετικῶν, ἢ καὶ συγγενῶν, πολεμηθεὶς, καὶ ἀποκεφαλισθεὶ, τοὺς τυραννοῦντας ἐνίκησε, καὶ θανὼν ὄντως ἔζησε. καὶ ταῖς ἰδίαις χερσὶ τὴν σεβασμίαν του κάραν ἀποτμηθεῖσαν βαστάσας, ἐδῶ μέσα ἔτρεξε, καὶ τοὺς φονεῖς ἐξέπληξε, τοὺς φθονήσαντας ὤλεσε, καὶ ἀπὸ τὴν προσκαιρινὴν αὐτὴν βασιλείαν μετέστη εἰς τὴν αἰώνιον ἀκήρατον, καὶ ἀθάνατον. Μετὰ τῶν Ἀγγέλων κύκλῳ τοῦ θρόνου τῆς μεγαλωσύνης εὑρίσκεται, ἀφ' ἡμῶν οὐδ' ὅλως ἀφιστάμενος, ἀλλ' ἀοράτως ἐν μέσῳ ἡμῶν εὑρισκόμενος, δαψιλῶς τοῖς προσερχομένοις τὰς δωρεὰς παρέχει· βαβαὶ τῶν παραδόξων θαυμάτων! Ποίοις λόγοις εὐφημήσω τὸν Βασιλέα καὶ Μάρτυρα; τὸν μυροβλύτην ὡς ἀληθῶς καὶ πολυθαύμαστον; ποίοις κρότοις ἐπαινέσω τούτου τὰ ἔπαθλα; ποίοις τρόποις ἀνυμνήσω τὰ θαύματα; Μεμέλισται τοῦ μεγαλομάρτυρος ὁ πηλὸς, ἀλλ' οὐ μεμέρισται τούτου ὁ Χριςός· διεῤῥάγη ἡ φύσις, ἀλλ' οὐκ ἐλύθη ἡ πίστις· ἐν ἑνὶ τόπῳ ὑπάρχει, καὶ ἐν ὅλῳ τῷ κόσμῳ ἐπικαλούμενος διάγει· ἐκεῖ ἐν τοῖς Οὐρανοῖς Χριστῷ τῷ Θεῷ παρίσταται, καὶ τῶν ἐνταῦθα οὐδ' ὅλως ἀφίσταται· ἐκεῖ πρεσβεύει, καὶ ὧδε ἡμῖν θριαμβεύει· ἐκεῖ λειτουργεῖ, καὶ ὧδε

θαυματουργεῖ· κοιμῶνται τὰ λείψανα, καὶ κηρύττει τὰ πράγματα· ἡ γλῶσσα σιγᾷ, καὶ τὰ θαύματα κράζουσι. Τίς τοσαῦτα εἶδεν; ἢ τίς ποτε ἤκουσεν; ἐν τῷ τάφῳ τὰ ὀςέα κεκλεισμένα, καὶ ἐν ὅλῳ τῷ Κόσμῳ τὰ τεράστια θεωρούμενα. Αἰσχυνέσθωσαν εἰδωλολάτραι, καὶ ἀσεβεῖς, καὶ αἱρετικοὶ, ἀκούοντες πνευμάτων φοβουμένων τὰ λείψανα: Πολλήσου ἡ παῤῥησία Ἅγιε Ἰωάννη Βλαδίμηρε, ὅτι διὰ Χριστὸν τὸν βασιλέα ἄδικον θάνατον ὑπέστης μαρτυρήσας, καὶ τὸν Σταυρὸν ὡς σκῆπτρον βαςάσας. Τί θέλουσιν εἰπῆ τώρα ἐκεῖνοι, ὁποῦ διὰ ὀλίγην στενοχωρίαν καὶ κίνδυνον τὸν γλυκύτατον Ἰησοῦν Χριστὸν ἀρνούμενοι ἀφίνουν; ἃς βλέπωσι τῆς πίςεως τὴν ἐνέργειαν· γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς, ὁ ἐν τοῖς ἁγίοις θαυμαστὸς, ὁποῦ ἔδειξε τοιοῦτον βλαςὸν, ἀπὸ βασιλικὴν ῥίζαν βλαστήσαντα καὶ ἀναφανέντα, ἐδῶ εἰς τὸ Κάστρον τοῦτο, τῆς Ἄλβας βασιλεύσαντα, πάσης Ἰλλυρίων γῆς καὶ Δαλματίας δεσπόσαντα. Ὁ λόγος, καὶ ἡ πολιτεία τοῦ Ἁγίου μεθερμηνεύθη εἰς τὰ Ῥωμαϊκὰ ἀπὸ τὴν γλῶσσαν τῶν Βουλγάρων, καὶ ὡς ἡ περὶ αὐτὸν Ἱστορία δηλοῖ εἶναι τοιαύτη. Εἰς τοῦτον ὅλαι αἱ χάριτες ἄνωθεν ἔβρεξαν· ἐκ πρώτης αὐτοῦ ἡλικίας θεοχαρίτωτος ὅλος ὢν, ἐκλήθη Ἰωάννης, ὁποῦ ἑρμηνεύεται χάρις Θεία. Ἡ ἐπίγειος αὐτοῦ πατρὶς ἦτον ἡ προκαθεζομένη ποτὲ τῶν Μυσῶν ἡ ὀνομαστὴ, ἡ ὁποία ὡς εὐθαλὲς καὶ κατάκομον φυτὸν ἔδωκεν εἰς τὸν Κόσμον τὸν Ἰωάννην, μέσα τοῦ Ἴστρου ποταμοῦ συνεχομένη· καὶ οἱ μὲν γεννήτορες ἀπὸ βασιλικὴν φυλὴν εἷλκον τὸ γένος, τὸ περισσότεραν εἰς τὴν Πίςιν περιφανεῖς, παρὰ εἰς τὴν εὐγένειαν. Ὁ μὲν πατὴρ αὐτοῦ ὠνομάζετο Νεεμᾶν, βασιλεὺς Τριβαλλῶν, καὶ ἡ μήτηρ αὐτοῦ Ἄννα, τῷ γένει Ῥωμαῒς, καὶ ἀπὸ τὰ δύο μέρη ἐπισημοτέρα ἡ εὐσέβεια, ὄχι μόνον ἀπ' ἐκείνων, ἀλλὰ καὶ ἐκ προγόνων, ὅταν ἄρχησε δηλαδὴ τὸ Ἀποςολικὸν κήρυγμα, εἰς τὰ αὐτὰ προοίμια τῆς Χριστιανικῆς Πίςεως, ὅταν ὁ σωτήριος λόγος τῇ τῶν Μυσῶν ἐπεφάνη μὲ τὸ ἔνθεον κήρυγμα, ἀπὸ τὸν ἁγιώτατον Κλήμεντα, καὶ ἀπὸ τοὺς σὺν αὐτῷ θεοσόφους πατέρας, ὁποῦ μὲ τὸ Ἅγιον Εὐαγγέλιον τὴν Βουλγάρων γῆν περιετριγύρισαν· εἰς τὸν ὁποῖον καιρὸν πρῶτος τῶν Χριςιανῶν Βουλγάρων βασιλεὺς ἐςάθη ὁ Συμεὼν, ὁ ὁποῖος μὲ μεγάλην προθυμίαν καὶ συνδρομὴν ἐκείνους τοὺς θεοσόφους Πατέρας τότε ἐσπούδασε, καὶ συνεργὸς φανεὶς εἰς τὸ προκείμενον, εἰς αὔξησιν τῆς ἀμωμήτου καὶ ὀρθοδόξου ἡμῶν πίστεως, καὶ εἰς ἀναίρεσιν τῆς αἱρέσεως τῶν Βογομίλων,

καὶ Μασσαλιανῶν, ὁποῦ ἦτον τότε εἰς ὅλην τὴν Βουλγαρίαν, καὶ εἰς τὰ πέριξ ὅρια ταῦτα· ἐπάνω δὲ εἰς ὅλα περισσότερον ἐφάνη συνδρομεὺς τοῦ μακαριωτάτου Ἁγίου Κλήμεντος, ὡσὰν ὁποῦ ἐκοιμήθησαν οἱ ἐπίλοιποι, καὶ τὴν ζωὴν ταύτην ἄφησαν, ὁ Κύριλλος λέγω, καὶ ὁ Μεθόδιος. Ἀπὸ τοιούτους λοιπὸν γονεῖς γεννηθεὶς ὁ Ἰωάννης, οὐκ ᾔσχυνε, δὲν ἐντρόπιασε τοὺς γεννήτορας, οὐδὲ παρακάτω ἐφάνη ἀπ᾽ ἐκείνους, ἀλλὰ ἦτον γεμάτος ἀπὸ χάριτας οὐρανίους, πρᾶος καὶ ταπεινὸς, ἥσυχος, εὐλαβὴς καὶ σεμνότατος, καὶ ἀπὸ τὰ χαμερπῆ καὶ πρόσκαιρα εἰς τὰ ἀνώτερα καὶ οὐράνια ἐπροθυμοποιεῖτο· ὥστε ὁποῦ φανερὸς εἰς ὅλους ἦτον εἰς τὴν προκοπὴν, καὶ τῆς Πατρικῆς ἀλουργίδος καὶ βασιλείας ἤθελε νὰ εἶναι διάδοχος. Κἀνταῦθα ὁ Θεὸς ὁποῖος ἔμελλε νὰ κατασταθῇ ὁ Ἰωάννης ἐφανέρωσεν, ὅτε προβαίνων εἰς τὴν ἡλικίαν, τὰ ἤθη του καὶ τὴν φρόνησιν μὲ τὴν ἐγκράτειαν τῶν παθῶν εὐτόνως ἐκαλλώπιζεν, ἀπὸ τὰ προοίμια αὐτὰ φανερῶν τὴν προκοπὴν καὶ ἐπίδοσιν, εἰς τὴν ὁποίαν ἔμελλε νὰ ἔλθῃ τὸ ὕϛερον. Καθ᾽ ἡμέραν καὶ ὥραν, χάριτι καὶ ἡλικίᾳ προκόπτων, οὔτε ποτέ του μὲ ἄλλα ἀφεντόπουλα καὶ παιδία ἀνακατώνετο, ἀλλ᾽ ἄγευστος ἦτον ἀπ᾽ ἐκεῖνα, δοσμένος εἰς προσευχαῖς καὶ ἄλλαις ἀρεταῖς, ἀπὸ τὸ Πανάγιον Πνεῦμα ὁδηγούμενος· καὶ τὰ ἱερὰ γράμματα, τῶν τε ἱερῶν γραφῶν τὰ χρειαζόμενα ἐκμελετήσας, ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἀνετρέφετο, μετερχόμενος τὰ ὅσα κοσμοῦσι καὶ στολίζουν τὰ ἤθη τῶν ἀνθρώπων. Ἐδόθη εἰς ἕνα στρατηγὸν νὰ παιδευθῇ ἐκεῖνον τὸν καιρὸν τὴν γυμνασίαν τῶν ἁρμάτων, καὶ εὐθὺς εἰς ὀλίγον καιρὸν τὰ τοῦ πολέμου εὐφυῶς ἔμαθε, ὁποῦ τὴν ἀνδρείαν του ὅλοι ἐθαύμασαν· τόσον ἐπρόκοψεν, ὁποῦ συντροφιασμένη ἡ ἀρετὴ, ἡ εὐλάβεια, καὶ ἡ προσευχὴ μὲ τὴν δύναμιν, πρακτικώτατον καὶ νουνεχῆ τὸ βασιλόπουλον ἐκατάστησαν· φεύγωντας πάντοτε ἀπὸ ταῖς κακαῖς συναναστροφαῖς, χαριέστατος εἰς ὅλους καὶ χαριτομένος ἦτον. Ὅθεν ἐπειδὴ καὶ εἰς μέτρον ἡλικίας ἔφθασε, καλῶς ἀνατραφεὶς καὶ παιδευθεὶς, τὸν ὑπάνδρευσαν μὲν οἱ γεννήτορές του μὲ τὴν βασιλουπούλαν, ϑυγατέρα τοῦ Σαμουὴλ τῶν Βουλγάρων καὶ Ἀχριδῶν βασιλέως, ὑπακούωντας ὡς εὐπειθὴς τῶν γεννητόρων του· ἀλλ᾽ αὐτὸς ὅλως διόλου παρθενίαν ἐτήρει, ζητῶντας καιρὸν ἐπιτήδειον, νὰ γυρίσῃ καὶ τὴν σύνευνον, καὶ σύζυγόν του εἰς τὴν ἀρετὴν, ὁποῦ αὐτὸς εὑρίσκετο. Μείνας λοιπὸν ὁ μέγας αὐτὸς Ἰωάννης μετὰ τὴν τελευτὴν τῶν μακαρίων γονέων του εἰς τὸ

βασίλειον καὶ εἰς τὴν ἐξουσίαν, ἤθελες ἰδῇ τὴν προθυμίαν του, καὶ νὰ ϑαυμάσῃς· ἔκραξεν εὐθὺς τοὺς ἐπιτρόπους τῆς βασιλείας, καὶ ὅλον τὸν ὑπήκοόν του λαὸν, ὁδηγῶντάς τους εἰς τὰ ϑεῖα ϑελήματα· ἔβαλε διδασκάλους, νὰ διδάξουν καὶ νὰ νουθετοῦν τὸν Κόσμον του εἰς τὴν ὀρθοδοξίαν· ὥστε ὁποῦ ὁ νοῦς του ἄλλο δὲν ἦτον, παρὰ νὰ ἁπλωθῇ ἡ εὐσέβεια, καὶ ἡ πίϛις ἡ ὀρθὴ τοῦ Χριϛοῦ καὶ Θεοῦ ἡμῶν εἰς τὴν περίχωρον τῆς ἐξουσίας του. Ὕστερον ἄρχησε μὲ φρονίμους λόγους, καὶ πνευματικὴν καὶ οὐράνιον διδασκαλίαν νὰ καταπείθῃ καὶ τὴν σύζυγόν του ἀπὸ τοὺς λόγους τῆς ἁγίας γραφῆς, ὁποῦ ἐμελέτησε, νουθετῶντάς την, πῶς ἡ παρθενία μέγαν μισθὸν ἔχει παρὰ Θεοῦ, καὶ ὅσοι τὴν ἤθελαν μεταχειρισθῇ, ἠμποροῦν νὰ λέγωνται ὄχι πλέον γήϊνοι, ἀλλὰ οὐράνιοι καὶ ὁμοδίαιτοι μὲ τοὺς Ἀγγέλους, καὶ ἄλλα ὅσα πρὸς σωφρονισμὸν ἔκαμναν χρείαν τῆς ἄνω ζωῆς καὶ τῆς μελλούσης τὴν ἀπάθειαν, καὶ τὴν ἰσάγγελον ἀποκατάστασιν. Ὥστε ὁποῦ αὐτὴ, καθὼς λέγει ἡ Ἱϛορία, τοῦ ἀπεκρίθη· Τοῦτο τὸ πρᾶγμα, ὦ γλυκύτατε ἄνερ, καὶ εἰς μερικὰ πετεινὰ καὶ ζῶα φυσικὰ ἐχαρίσθη, καὶ ἀνίσως καὶ εἰς ἡμᾶς φιλοτιμηθῇ, τῷ Θεῷ χάρις, ἀπὸ τοῦ ὁποίου σοῦ εἶναι δεδομένον αὐτὸ τὸ ϑεῖον βούλευμα. Μὲ αὐτὰ τὰ λόγια ὁ Ἰωάννης τὴν ὁμόζυγόν του εἰς τὴν σωφροσύνην ἀνάγκαζε· καὶ τοιαῦτα μὲν ἦτον τὰ τῆς σωφροσύνης του. Τὴν δὲ εἰς τοὺς πτωχοὺς ἀγάπην καὶ ἐλεημοσύνην, ὁποῦ ἔκαμνε πάντοτε εἰς τοὺς ἐνδεεῖς καὶ χρειαζομένους, τὴν χορηγίαν εἰς τοὺς πεινασμένους, εἰς τοὺς ἀῤῥώστους τὴν συμπάθειαν, εἰς τὸ βουλγαρικὸν Συναξάριον εἶναι πολλὰ, καὶ ἀνεκδιήγητα καὶ ἀμέτρητα, τὰ ὁποῖα τίς νὰ τὰ διηγῆται; ὅμως αὐτὸς ὤντας ἡδὺς μὲν εἰς τὰ σωματικὰ καὶ ἀκέραιος, ἡδύτερος δὲ καὶ γλυκύτερος εἰς τὰ πνευματικὰ, ὥστε ὁποῦ ὑπὲρ τὴν ὕλην, καὶ ὑπὲρ φύσιν ἐφάνησαν τῆς Ἀγγελικῆς πολιτείας του καὶ καθορότητος τὰ κατορθώματα. Ἕνα μόνον βούλομαι νὰ διηγηθῶ, τὸ ὁποῖον ὄντας δίχως πλάσματος ἐπιδεικτικοῦ, καὶ εἰς ἐκείνους ὁποῦ τὸ ἀγνοοῦσι, καὶ δὲν τὸ ἠξεύρουσι φανερώτατον ἀπεικόνισμα, ϑέλει παρακινήσει πρὸς μίμησιν καὶ τοὺς πολλὰ ἀμελεῖς καὶ ὀκνηροὺς τῶν ἀνθρώπων· τὸ ὁποῖον εἶναι τοιοῦτον. Ἔμπροσθεν τοῦ βασιλικοῦ παλατίου, καὶ τῶν ἀνακτορικῶν καὶ βασιλικῶν κελίων, ἦτον ἕνα μικρὸν ἵδρυμα, ὁποῦ τὴν νύκτα τινὰς τῶν προσερχομένων δὲν ἐπήγενε, διατὶ ἦτον φοβερὸς ὁ τόπος καὶ σκοτεινὸς, καὶ ἡ τοποϑεσία περικυκλωμένη ἀπὸ τὰ ποτάμια ὁποῦ ἦτον ἐκεῖ· ὁ τόπος

ἄγριος πολλὰ, διατὶ οὔτε φεγγάρι, οὔτε ποτὲ ὁ ἥλιος ἀπὸ τὸ δάσος καὶ τὴν πυκνότητα τῶν δένδρων τὸν ἐφώτιζεν, οὔτε ἐφαίνετο πῶς νὰ ἐπεριπατεῖτο ἐκεῖνος ὁ τόπος καὶ ἡ γῆ ἀπὸ τοὺς ἀνθρώπους, παρὰ θηρία καὶ ἄγρια ζῶα νὰ ἐσυναναστρέφοντο εἰς αὐτὸν, καθὼς φαίνεται καὶ τώρα, ὁποῦ μὲ τοὺς καιροὺς μετηλλάχθη, καὶ ἀπὸ μακρὰ ἰσιασμένος καὶ καθαρισμένος· εἰς τὸν ὁποῖον καὶ ἀπὸ φιλοθέους ἄνδρας μέγιστος Ναὸς ᾠκοδομήθη καὶ ἐκτίσθη εἰς τὸ ὄνομα αὐτοῦ τοῦ Ἁγίου, τοῦ ὁποίου καὶ τὸ ἅγιον Λείψανον τώρα ἑπτακοσίους χρόνους καὶ ἐπέκεινα εὑρίσκεται ἐδῶ μέσα, ἀπὸ κτίσεως κόσμου, ςτζ΄. Λοιπὸν βασιλεύωντας αὐτὸς ὁ παμμακάριστος Ἰωάννης ὁ Βλαδίμηρος εἰς τὰ ὅρια ταῦτα, μετὰ τὴν ἐκδημίαν τοῦ πατρός του πρὸς Κύριον, μίαν τῶν ἡμερῶν καβαλικεύωντας μὲ τρεῖς μεγιστάνας, κατὰ τὸ εἰωθὸς, καὶ περιδιαβάζωντας, εἶδεν ὡσὰν ἕνα ἀετὸν, καὶ ἐπάνω τῆς κεφαλῆς του ἔλαμπεν ἡλιοειδὴς καὶ ὑπέρλαμπρος Σταυρός· ἀκολουθήσαντες λοιπὸν μέσα εἰς τὸ δάσος, εἰς τὸ λαγγάδι, ἐσταμάτισεν ὁ τίμιος Σταυρὸς εἰς τὸν τόπον τοῦτον· καὶ ξεκαβαλικεύωντας μετὰ τῶν μεγιστάνων αὐτοῦ, τῶν ὁμοτρόπων καὶ εὐσεβεστάτων ἀνδρῶν καὶ ἀρχόντων, ἔπεσον πρηνεῖς μετὰ πόθου, δακρυῤῥοοῦντες, καὶ προσεκύνησαν τὸν πανσεβάσμιον καὶ τίμιον Σταυρὸν, ὁποῦ ὡς ἄλλου Κωνσταντίνου σκῆπτρον δυνάμεως τοῦ ἐφάνη παρὰ Θεοῦ, ἀῤῥαβῶνας τῆς μακαρίας καὶ ἀθανάτου βασιλείας, ὁποῦ ἔμελλε νὰ κληρονομήσῃ. Ὅθεν αὐτοῦ ἔκτισεν εὐκτήριον οἶκον, καὶ ἤρχετο ὄχι μίαν φορὰν τὴν ἡμέραν, ἀλλ᾽ ἑπτάκις τῆς ἡμέρας κατὰ τὸ γεγραμμένον, καὶ εἰς τὸ δάσος ἔμβαινε, καὶ τὰς εὐχὰς τὰς συνήθεις γονυκλιτῶς ἀπεπλήρου· ἐκεῖ εἶχε βάλει μίαν εἰκόνα τοῦ ἐσταυρωμένου Χριστοῦ, καὶ μὲ τὴν δύναμιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, καὶ τοῦ ἐν αὐτῷ προσηλωθέντος Δεσπότου Χριστοῦ, μονώτατος τὴν νύκτα θαῤῥῶντας ἔμβαινεν εἰς τὸ δάσος τοῦτο, ἀγρυπνῶντας, καὶ παννύχιον προσευχὴν ἐν κρυπτῷ ἀκαταπαύστως ποιῶντας. Ἀλλ᾽ ἐπειδὴ καὶ ἀδύνατον εἶναι νὰ κρύπτεται ὁ λύχνος ὑπὸ τὸν μόδιον, ἀλλὰ νὰ λάμπῃ καὶ νὰ φαίνεται, καὶ εἰς τοῦ ὀσπητίου καὶ τοῦ παλατίου του τοὺς ἀνθρώπους νὰ λάμψῃ τρανώτερον καὶ φανερώτερον, καὶ νὰ δοξασθῇ κατὰ τὴν ἐπαγγελίαν τοῦ ἀψευδεστάτου στόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ Πατὴρ ὁ οὐράνιος, τί συμβαίνει; μᾶλλον, πρὸς τί φέρεται παρὰ τοῦ ἄγοντος αὐτὸν καὶ ὁδηγοῦντος Πνεύματος; ἀκούσατε. Ἐκείναις ταῖς

ἡμέραις ὁ αὐτοκράτωρ τῶν Ῥωμαίων Βασίλειος ὁ Πορφυρογέννητος, καταβαίνωντας, καὶ κουρσεύωντας τοὺς Βουλγάρους, ἐσήκωσε μέγιστον πόλεμον κατὰ τοῦ πενθεροῦ τοῦ Ἁγίου Ἰωάννου, τοῦ Σαμουὴλ Βασιλέως, ὁποῦ ἐκατοίκα εἰς τὴν Ἀχρίδα, καὶ κατὰ τῶν ἀδελφῶν του, ὥστε ὁποῦ ἡτοιμάσθη καὶ ὁ Βασιλεὺς Βουλγάρων Σαμουὴλ ὁμοῦ μὲ τοὺς ἄλλους τρεῖς ἐδικούς του, τὸν Μωϋσῆν καὶ Δαυῒδ, οὕτως ὀνομαζομένους· οἱ ὁποῖοι ἐκυρίευσαν τῶν Βουλγαρικῶν, καὶ Σερβικῶν, καὶ Γερμανικῶν τόπων, τὰ ὅρια τῶν Μυσῶν, καὶ ἐπέκεινα τῶν ὑπερβορίων, ἑτοιμάσαντες καὶ αὐτοὶ φουσάτα καὶ στρατόπεδα ἄπειρα πλήθη λαῶν· καὶ συγκροτηθέντος φρικτοῦ πολέμου καὶ ἀπὸ τὰ δύο μέρη, ἐκ πρώτης ἀφετηρίας οἱ Ῥωμαῖοι ἐνίκησαν εὐθὺς τοὺς Βουλγάρους· καὶ εἰς τὰ ἐνδότερα βασίλεια τῶν Βουλγάρων, ἕως τὴν Λυχνιδῶν μεγαλόπολιν, ὁποῦ σήμερον Ἀχριδῶν ὀνομάζεται, ἄρχησαν νὰ ἐμβαίνουν ἕως καὶ εἰς τὰ ὅρια τοῦ παμμάκαρος Ἰωάννου, τὴν Δαλματίαν λέγω, τὸ Ἄλβανον, καὶ τὸ Σύρμιον, καὶ εἰς τὸ Ἰλλυρικόν. Ἀλλὰ ἔσφαλλεν ὁ ἀνδρειωμένος Πορφυρογέννητος Βασίλειος ὁ τῶν Ῥωμαίων Βασιλεύς· ἐπειδὴ καὶ διὰ τὴν ἀνδρείαν τοῦ Ἰωάννου, καὶ τὰ δυνατὰ φουσάτα του, καὶ τὴν πρὸς Θεόν του εὐλάβειαν, ἔτι δὲ καὶ τὴν δυσκολίαν τῶν βουνῶν, καὶ τῶν κεραυνίων κορυφῶν τοὺς κρημνοὺς, καὶ τὰ στενώματα ἐκείνων τῶν τόπων, ὅλα ἐκεῖνα ὁποῦ ἐμεθοδεύθησαν, ὡς ἱστὸς ἀράχνης διελύθησαν ἀπὸ τοῦτον τὸν γενναιότατον Ἰωάννην, καὶ νικημένοι ἐγύρισαν εἰς τὰ ὀπίσω οἱ ὑπεναντίοι, ὡσὰν ὁποῦ ἐκεῖνοι μὲν, κατὰ τὸ εἰρημένον, ἐκαυχῶντο ἐν ἅρμασι καὶ ἵπποις, αὐτὸς δὲ εἰς τὴν θείαν συμμαχίαν, καὶ ἐν τῷ ὀνόματι Κυρίου Θεοῦ ἡμῶν· διὰ τὸ ὁποῖον καὶ ἐκεῖνοι μὲν ἔπεσαν, αὐτὸς δὲ ὡς νικητὴς ἀνέστη, καὶ ἐδοξάσθη, καὶ ὄχι μόνον εἰς τοὺς γείτονάς του ἦτον ὀνομαστὸς καὶ περιβόητος, ἀλλὰ καὶ εἰς τοὺς μακρυνοὺς ἐπαινετὸς καὶ φημισμένος. Οὕτω τοίνυν ἔζησεν, ὡς ἔπρεπεν ἀνθρώπῳ, ὅλως διόλου ἔχων τὸν νοῦν του ἀφιερωμένον εἰς ἐκεῖνον τὸν ὕψιστον Βασιλέα Θεὸν, διὰ τὸν ὁποῖον ἐπεθύμα, ἂν ἴσως τοῦ ἤθελε συνέβῃ, νὰ χύσῃ καὶ τὸ αἷμά του, καὶ νὰ ἀποθάνῃ διὰ τὴν ἀγάπην του, νὰ προσφέρῃ τὸν ἑαυτόν του θυσίαν εἰς τὸν Θεόν. Καὶ αὐτὸς μὲν ὡσὰν οὐράνιος ἄνθρωπος μᾶλλον, ἢ γήϊνος, τοιαῦτα ἀπὸ τὸν Θεῖον ἔρωτα διενοεῖτο, καὶ ἐμελέτα ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου, καὶ δικαιώμασιν· ὁ δὲ βασκαίνων ἐχθρὸς τὰ ἡμέτερα, ἐκεῖνος ὁ τὸν δίκαιον καὶ ἄμεμπτον Ἰὼβ

ἐξαιτήσας, καὶ ὁποῦ ληστρικῶς εἰς τοὺς κόπους τῶν δικαίων ἀντιβαίνει, ὁ πονηρὸς λέγω Διάβολος, κατασοφιζόμενος, ἐγείρει κατὰ τοῦ δικαίου καὶ παρακινεῖ μῖσος καὶ ἔχθραν ἄσπονδον εἰς τὸν ἀδελφὸν τῆς γυναικός του τῆς βασιλίσσης, ἢ νὰ εἰποῦμεν εἰς τὸν ὁμότροπόν της· ὅς τις παρακινηθεὶς ὑπὸ τοῦ Σατανᾶ, ἐτεχνεύθη κατὰ τοῦ δικαίου ἄδικον θάνατον, ὑποκρινόμενος πρῶτον εἰς τὸ πρόσωπον πῶς τὸν ἠγάπα, ἀλλὰ μέσα του φυλάγωντας τὴν κακουργίαν, ἐφόρει τὸν λύκον ἐν ἀληθείᾳ, καὶ ὑποκάτω εἰς τὸ δέρμα κρύπτωντας τὸ φαρμάκι, καὶ μάλιστα παρακινούμενος ἀπὸ τὴν Δαλιδὰν, καὶ πονηροτάτην ὁμόζυγον, καὶ κακότροπόν του γυναῖκα· οἱ ὁποῖοι ὡς Αἱρετικοὶ, ἐβαστοῦσαν ταῖς ῥίζαις τῆς ἰοβόλου αἱρέσεως τῶν Βογομίλων καὶ Μασσαλιανῶν, ὁποῦ εἰκόναις δὲν ἤθελαν νὰ προσκυνοῦν, ἀλλὰ ἦτον εἰκονομάχοι, καὶ ἐχθροὶ τοῦ Σταυροῦ. Μίαν ἡμέραν κατὰ τὴν συνήθειαν ἔχωντας τὸν θεοήλατον γυναικάδελφόν του ἀντάμα, καὶ καταβαίνωντας ἀπὸ τὴν Ἀχρίδα, διὰ νὰ ἔλθῃ ἐδῶθεν, κατὰ τὸ δερβαίνι, εὐθὺς ὁ ἀλιτήριος ξεσπαθόνει, καὶ ἔξαφνα κτυπᾷ τὸν γαμβρόν του· καὶ μὴν ἐπιτυχαίνωντας, μετὰ ταῦτα μὲ τὸ ἴδιόν του σπαθὶ ὁποῦ τοῦ ἔδωσεν, ἀπέτεμε τὴν κεφαλὴν τοῦ Ἁγίου· ὁ ὁποῖος, ὢ τοῦ θαύματος! καβαλάρης ἅρπασε τὴν κάραν του τὴν ἁγίαν καὶ πανσεβάσμιον, καὶ ἔτρεχεν, ἀκολουθούντων τῶν στρατιωτῶν, ἕως ὁποῦ ἦλθεν εἰς τὸ δάσος τοῦτο, ὅπου εἶχε τὸν εὐκτήριον οἶκον μὲ τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν. Καὶ φθάνωντας μὲ ἔκπληξιν πολλῶν καὶ ἀπορίαν, ἐξεκαβαλίκευσε, καὶ βαστῶντας τὴν ἁγίαν καὶ ἀθλητικωτάτην του κάραν, ἔθεσέν την γονατιστὸς προσκυνήσας, καὶ λέγωντας· Κύριε Ἰησοῦ Χριστὲ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. Ὁ δὲ μιαρὸς φονεὺς ἐτρόμαξε, καὶ εὐθὺς ἐλύσσιαξε, κακὴν κακῶς καὶ ἀπὸ ταῖς δύο ζωαῖς ἀποῤῥαγεὶς ὁ δείλαιος. Καὶ πίπτει μὲν ὁ δίκαιος κατὰ τὸ ὁρώμενον, ἀνίπταται δὲ ὥσπερ ὑπόπτερος πρὸς τὸν ποθούμενον, μὲ τοὺς ἁγίους Ἀγγέλους συναποπτὰς, τῶν ὁποίων καὶ τὴν πολιτείαν ἐπὶ γῆς ἐμιμήθη. Ἀκούσαντες δὲ ὁ λαὸς τὸ δρᾶμα τοῦτο, καὶ τὴν ἄδικον σφαγὴν τοῦ καλοῦ βασιλέως καὶ προστάτου καὶ πατρὸς, ἔδραμον ὅλα τὰ στρατεύματα, οἱ ἐπίτροποι τῆς βασιλείας του, οἱ ἄρχοντες, οἱ μεγιστάνες, οἱ ἀρχιερεῖς μετὰ ϛαυροφανείας τῶν κλήρων καὶ τῶν λαῶν, καὶ ἐκήδευσαν τὸ παρθενικὸν, βασιλικὸν καὶ καθαρώτατον σῶμα αὐτοῦ, μετὰ θυμιαμάτων καὶ ψαλμῳδιῶν. Κατέβη δὲ φῶς εἰς τὸν τάφον

του, καὶ θαύματα πολλότατα ἔγιναν, τυφλῶν ὀμματώσεις, δαιμονιζομένων ἀπαλλαγαὶ, ἀσθενούντων ἰάσεις, μῦρα ἔβλυσαν, καὶ μέχρι τοῦ νῦν ἀπείρων θαυμάτων καὶ τεραστίων αὐτουργὸς εὑρίσκεται ἐκτελῶν. Μάρτυς ὁρᾶται τῆς ἀληθείας, σταθμοῖς δικαίοις στεφανωθεὶς, τῆς ἀνωτάτω Θεοῦ προνοίας ζυγοστατούσης τὸ δίκαιον ἀληθῶς. Οὕτω βιοὺς, καὶ οὕτω τὸν δρόμον τετελεκὼς, πρὸς Θεὸν ἀνέδραμεν, ὃν ἠγάπησε· καὶ τώρα ὄχι μὲ τύπους βλέπει, ἀλλ' αὐτοπροσώπως τῷ προσώπῳ Χριστοῦ ἐμφανίζεται, τὴν λαμπρότητα τῆς μακαρίας Τριάδος ἐποπτεύει καθαρώτερόν τε καὶ τρανώτερον. Ἐπὶ τούτοις ἔδει τὸν δίκαιον, ἔδει τὸν τῆς εὐσεβείας ὑπέρμαχον καὶ διδάσκαλον, τὸν ἐγκρατῆ, τὸν πρᾶον, τὸν εἰρηνικὸν, τὸν ἡσύχιον, τὸν ἀριστέα, τὸν ἐπὶ γῆς βασιλεύσαντα, οὐχ' ἧττον κατὰ τῆς ἁμαρτίας, ἢ τῶν γηΐνων καὶ τῶν ἐν φαντασίᾳ, τὸν ἐν πολέμοις ἀήττητον, τὸν νικητὴν τῆς πλάνης καὶ τροπαιοῦχον, ἐγκωμίοις τοῖς παρ' ἡμῶν ἐγκωμιασθῆναι τοῖς κατὰ τὸ δυνατόν· διότι ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί· διότι θυσίαν ἀναίμακτον διὰ τῆς τῶν Μαρτύρων θυσίας καὶ ἱκεσίας ἀναπέμπομεν εἰς τὸν Θεόν. Ἐπειδὴ λοιπὸν τοιοῦτον προστάτην πρὸς τὸν Δεσπότην ἔχομεν, ἑορτάσωμεν σήμερον μὴ ἑλληνικῶς, ἀλλὰ χριστιανικῶς· μὴ μὲ τὴν γαστέρα, ἀλλὰ μὲ τὴν ψυχήν· ἂς μᾶς γένῃ ἡ ἑορτὴ τοῦ Ἁγίου ἐπάξιος· καὶ ὅσοι μνησικακίαν ἀνάμεσόν τους φυλάττουσι, διὰ τὴν ἀγάπην τοῦ Μεγαλομάρτυρος ἂς συγχωρηθῶσι, καὶ μὲ ἐλεημοσύναις καὶ ἀγαθοεργίαις τὸν Θεὸν ἂς ἐξιλεώσουν. Ἂς μιμηθῶμεν μὲ τὰ καλὰ ἔργα τὸν Ἅγιον, διὰ νὰ τύχωμεν καὶ ἡμεῖς τῆς ἀθανάτου ἐκείνης ζωῆς, καὶ ἀγήρω μακαριότητος· ἂς βοήσωμεν τοίνυν οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ τῷ ἀθλοφόρῳ ἅπαντες οἱ συναθροισθέντες ἐνθάδε· ὦ Μάρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα, καὶ φίλε, καὶ ὑπηρέτα, πολλῆς παρ' αὐτοῦ ἀπολαύσας χάριτος καὶ παῤῥησίας· συνήθως καὶ νῦν προβαλλόμεθά σε, καὶ δεόμεθά σου ἅπαντες οἱ πιστοὶ, τὴν σεβασμιωτάτην σου μνήμην τελοῦντες· γενοῦ πρέσβυς ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀπαῤῥησιάστων πρὸς τὸν Δεσπότην, ὡς προστάτης δεόμενος ὑπὲρ τοῦ λαοῦ τῶν Χριστιανῶν, ἐλεεινῶς παιδευομένων· μὴ παύσῃ σὺν τοῖς Ἁγίοις πᾶσιν ἀσιγήτως λέγων· Φεῖσαι τῆς ποίμνης σου, ὁ Ποιμὴν ὁ καλὸς, ἐλέησον τὴν Ἐκκλησίαν σου φιλάνθρωπε, ὅτι δεινῶς κλυδωνίζεται, ὅτι χαλεπῶς διασκορπίζεται· σπλαγχνίσθητι ἐπὶ τῇ κληρονομίᾳ σου, ὅτι καθ' ἡμέραν αἰχμαλωτίζεται· οἴκτειρον τὰ

τέκνα σου, ὅτι λοιπὸν ὠλιγώθησαν· ἐπίβλεψον Δέσποτα ἐπὶ τὸν λαόν σου, ὅτι ἐπλήσθη ἐξουδενώσεως· ἴδε τὴν βίαν, καὶ ποίησον φιλανθρωπίαν· ἴδε τὴν ἀσθένειαν, καὶ δὸς τὴν ἀνάῤῥωσιν· ἴδε τοὺς ὀδυρμοὺς, καὶ ποίησον οἰκτιρμούς. Παρακλήθητι εὔσπλαγχνε, μὴ εἰς τέλος ὀργισθῇς, καὶ ἀπώσῃς ἡμᾶς αὐτοὺς, ἀλλ' ἐκπαιδεύσας, ἴασαι· ἐσκόρπισας, συνάγαγε· ἀπέῤῥιψας, ἐλέησον· παρέδωκας, ἐλευθέρωσον· ἐξώρισας, πάλιν ἀνακάλεσαι· μὴ μνησθῇς τῶν τοῦ λαοῦ ἀνομιῶν. Σὺ γὰρ μόνος ἀναμάρτητος, σὺ μόνος φιλάνθρωπος, σὺ μόνος πολυέλεος Δέσποτα, σὺ ζωὴ, καὶ παρὰ σοὶ πηγὴ ζωῆς, παρὰ σοὶ κράτος καὶ δύναμις· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, σὺ εἶ ὁ Ποιμὴν, καὶ Σωτὴρ τοῦ Κόσμου. Ἐλέησον, καὶ ἐπίστρεψαι τὴν αἰχμαλωσίαν τοῦ λαοῦ σου· ὅπως ἀγαλλόμενοι δοξάζωμεν σὲ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν Θεότητα καὶ βασιλείαν, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε.

Ὁ τὰ πάντα σου προβλέπων Θεὸς Παμμάκαρ, ἃ ἐν κρυπτῷ προσηύχου, Ἰωάννη θεόφρων, Χριστός σε ἐδόξασε, σὺν πᾶσιν Ἁγίοις τε, συγκαταριθμῶν ὁ φιλάνθρωπος.

Νῦν σε ἅπαντες δοξάζομεν θεοφόρε, ὦ Ἰωάννη ἔνδοξε. Χριστῷ γὰρ ἐδούλευσας, γένους περιφάνειαν, καὶ δόξαν ἐπίκηρον, Μάρτυς ὡς οὐδὲν λογισάμενος.

Ὕμνοις ἅπαντες συμφώνως σὲ ἀνυμνοῦμεν, ὡς τοὺς λιμένας φθάσαντα, τοὺς ἐπουρανίους, ἰσίοις πτερούμενος, τοῦ Σταυροῦ τῆς χάριτος, Μάρτυς χαριτώνυμε ἔνδοξε. Θεοτοκίον.

Μήτηρ Ἄχραντε, Παρθένε Θεογεννῆτορ, σὲ ἀνυμνοῦμεν πᾶσαι γενεαὶ τῶν ἀνθρώπων, διὰ σοῦ σωζόμεναι, καὶ σὲ ἱκετεύομεν, λύτρωσαι ἡμᾶς ταῖς πρεσβείαις σου.

Ἄλλος. Χριστός μου δύναμις.

Μυρίζει πάνσοφε, ἡ Θεία θήκη σου, ἔνθα κεῖται τὸ θεῖον καὶ ἱερὸν, σῶμά σου Μακάριε, καὶ ἰαμάτων δωρεὰς, ἀναβλύζει τοῖς τιμῶσί σε.

Ναὸν καθίδρυσας, τὸν σὸν πανένδοξε, καὶ σεπτὸν ἀθλοφόρε, ἔνθα νυνὶ, βρύει τὰ ἰάματα, ἡ παναγία σου σορὸς, Ἰωάννη παμμακάριστε. Θεοτοκίον.

Ζωὴν ἐβλάστησας, Θεὸν Πανάμωμε, τὸν κατέχοντα πάντα Κτίστην δρακὶ, τῇ αὐτοῦ Θεόνυμφε, καὶ ἐν σοφίᾳ Οὐρανοὺς, καὶ συνέσει στερεώσαντα.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Νίκην σοι ὁ Χριστὸς, ἐκ τῶν ἄνωθεν δέδωκε, θεόσοφε Ἰωάννη, κατὰ τῶν ἀντιπάλων, ἰσχύν τε παμμακάριστε.

Ὦ μάκαρ Ἀθλητὰ, Ἀθλοφόρων ὁμόσκηνε· ἡ δόξα τε τῶν δικαίων, καὶ ἡμῶν τῶν ὑμνούντων, προστάτης καὶ ὑπέρμαχος.

Ἰδόντες οἱ Πιστοὶ, τῶν θαυμάτων τὰς χάριτας, Βλαδίμηρε Ἰωάννη, ἐκ τῆς Θείας σοροῦ σου, ἀντλοῦμεν τὰ ἰάματα.

Θεοτοκίον.

Ὦ Δέσποινα Ἁγνὴ, Θεοτόκε πανύμνητε, ἐπίβλεψον ἐφ' ἡμᾶς νῦν, τοὺς οἰκτρούς σου ἱκέτας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ἄλλος. Τῷ Θείῳ φέγγει σου.

Ἔρωτι θείῳ ἀποσκοπῶν, πρὸς τὰς δι' αἰώνων ἀμοιβὰς, πολλὰς βασάνους ὑπέφερες· τόπῳ δὲ ἐκ τόπου μεταφερόμενος, νειστείαις ἀγρυπνίαις προσεκαρτέρησας.

Ῥώμῃ τῇ θείᾳ δυναμωθεὶς, πάσας τοῦ ἐχθροῦ τὰς μηχανὰς, οὐδ' ὅλως εἰς νοῦν λελόγισαι, Μάκαρ Ἰωάννη· ἀλλὰ Σταυρὸν τοῦ Χριστοῦ, λαβὼν ἐν ταῖς χερσί σου, ἤρθης πρὸς θείας σκηνάς.

Τῶν ἐκτελούντων σου Ἀθλητὰ, μνήμην τὴν ἁγίαν καὶ σεπτὴν, ὑπερασπίζῃ ἑκάστοτε, βλάβης ψυχοφθόρου τούτους ῥυόμενος, καὶ τῇ σῇ μεσιτείᾳ, πάντας προσάγων Θεῷ.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, Δέσποινα τοῦ Κόσμου ἀγαθὴ, προσκαλουμένων σε πρέσβευε, Θεῷ τῷ Υἱῷ σου, ὅπως λυτρώσηται ἡμᾶς, ἐκ τῶν κινδύνων καὶ περιστάσεων.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ἄνωθεν, ὁ Χριστός σοι τὸ στέφος χαρίζεται, ὦ Ἰωάννη παμμάκαρ, διὰ προσευχῆς σου καὶ ἀγρυπνίας, ἣν ἐτέλεις ἐν κρυπτῷ Θεῷ χαριτώνυμε.

Νίκην σοι, ὁ Θεὸς ὁ τῶν ὅλων δεδώρηται, ὦ Ἰωάννη θεόφρον· καὶ ἡμεῖς ἀντλοῦμεν ἐκ τῶν ἁγίων σου Λειψάνων, ἰαμάτων χαρίσματα ἔνδοξε.

Νυμφῶνος, τοῦ προσκαίρου ἐξέφυγες ἔνδοξε τὴν ἁμαρτίαν, καὶ ταύτης, ὁμιλίας πάσας τὰς γυναικείας· διὰ πόθον τοῦ Σταυροῦ, καὶ τὴν κάραν σου τέτμησο. Θεοτοκίον.

Ἡ μόνη, διὰ λόγου τὸν Λόγον κυήσασα, τὸν ἀλογίας ἁπάσης, τοὺς βροτοὺς ῥυσάμενον, καὶ τῆς ἄνω βασιλείας τῆς αὐτοῦ, κοινωνοὺς ἀναδείξαντα.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Ῥομφαία σε ἔσπευδε, βασιλείας τῆς ἐν γῇ, ἀποστερῆσαι ἔνδοξε· ἀλλὰ σὺ βασιλείας τῶν Οὐρανῶν, στεφάνων ἠξίωσαι, καὶ τὴν ἄνω πορφύραν περιβέβλησαι.

Ἀήττητος γέγονας, ἐπηρείαις τοῦ ἐχθροῦ, νευρούμενος τῷ Πνεύματι· καὶ τὴν δρόσον δεχόμενος παρ' αὐτοῦ, πηγὴ ἀναδέδειξαι, τῶν θαυμάτων ἐν Κόσμῳ παναοίδιμε.

Ἡνίκα κατέλαβες, Ἰωάννη ἀθλητὰ, τοῦ Μαρτυρίου ςάδιον, ταῖς χερσί σου κατέχων περιχαρῶς, Σταυρὸν ἀνεκραύγαζες· Σὺ γενοῦ μοι προστάτης καὶ ὑπέρμαχος.

Θεοτοκίον.

Ὡς μόνη κυήσασα, τὸν τῶν ὅλων Ποιητὴν, διαπαντὸς ἱκέτευε, ὑπὲρ πάντων τῶν πόθῳ σε καὶ πιστῶς, τιμώντων πανύμνητε, καὶ τὸν τόκον, ὑμνούντων σου τὸν ἄφθαρτον.

Κοντάκιον, Ἦχος πλ. α'. Τῇ ὑπερμάχῳ.

Ὡς θησαυρὸν πολυτελῆ καὶ κρήνην βρύουσαν, τοῖς ἐπὶ γῆς ἡμῖν κρουνὲς νόσες καθαίροντας, ὁ Δεσπότης παρέσχε σκῆνός σου τὸ θεῖον, ἀῤῥωστημάτων ὡς ἀγαθὸς λύσιν παντοδαπῶν, καὶ χάριν θείαν βραβεῦον τοῖς προστρέχουσιν· ἵνα κράζωμεν· Χαῖρε Ἄναξ Βλαδίμηρε.

Ὁ Οἶκος.

Ἄνωθέν σοι ἐδόθη βασιλείας τὸ κράτος, πανθαύμαστε σοφὲ Ἰωάννη· καὶ ταῖς τῶν ἀσωμάτων φωναῖς Ἰλλυριοὺς τὴν Πίστιν διδάσκων ἅπαντας, ἐφώτισας καὶ ἤγειρας βοᾶν σοι μετὰ πόθου ταῦτα·

Χαῖρε πιστῶν Βασιλέων κλέος.
Χαῖρε σεπτῶν, Ἀθλοφόρων δόξα.
Χαῖρε τῶν παγίδων ἐχθροῦ τὸ κατάλυμα.
Χαῖρε τῶν δογμάτων Χριστοῦ τὸ κραταίωμα.
Χαῖρε ὕψος ἐνδοξότατον βασιλείας εὐσεβοῦς.
Χαῖρε βάθος ταπεινώσεως, τὸ ὑπὲρ τοὺς οὐρανούς.
Χαῖρε, ὅτι ἐκτήσω τοῦ Προδρόμου τὸν ζῆλον.
Χαῖρε, ὅτι κατέχεις ἐν χερσί σου τοὺς κλήρους.
Χαῖρε ἀστὴρ ἐμφαίνων τοῖς πέρασι.
Χαῖρε πηγὴ ἐνθέου ἀφέσεως.
Χαῖρε δι' οὗ ἀπεσβέσθη ἡ πλάνη.
Χαῖρε δι' οὗ ἐκυρώθη ἡ Πίστις.
Χαῖρε ἄναξ Βλαδίμηρε.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΚΒ'.

Μνήμη τοῦ Ἁγίε Ἐνδόξε Βασιλέως, Σημειοφόρε, Μεγαλομάρτυρος, Ἰσαποστόλου, Μυροβλύτου,

ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΛΑΔΙΜΗΡΟΥ

ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Χεὶρ συγγενοῦς τέμνει σε ἡ μιαιφόνος.
Χεὶρ Κυρίου νέμει σοι ἀξίως στέφος.
Εἰκάδι δευτερίῃ ἄορ πέφνεν ἄνακτα Ἰωάννην.

Οὗτος ὁ ἐν βασιλεῦσιν ἁγιώτατος καὶ ἐνδοξότατος Ἰωάννης ὁ σημειοφόρος πατρίδα μὲν εἶχε κάποιον χωρίον τῆς ἐπαρχίας τῶν Βουλγάρων, λεγόμενον Βλαδίμηρον· ὅθεν ἔλαβε καὶ τὴν ἐπωνυμίαν νὰ ὀνομάζεται Βλαδίμηρος· ἀπὸ γένος Βασιλικὸν, καὶ γονεῖς πιστοὺς καὶ ὀρθοδόξους. Ὁ πατήρ του ἐκαλεῖτο Νεεμᾶν, ὁ υἱὸς Συμεὼν τοῦ πρώτου εὐσεβοῦς καὶ ἁγίου βασιλέως τῶν Βουλγάρων, Ἀχριδῶν, ὁ ὁποῖος ἐδιδάχθη τὴν ἀμώμητον καὶ ὀρθόδοξον πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ, καὶ σωτῆρος πάντων, ἀπὸ τοὺς ἁγίους ἑπταρίθμους, τὸν Κλήμεντα λέγω, τὸν μακαριώτατον Ναοὺμ, Κύριλλον, Μεθόδιον, καὶ τοὺς λοιποὺς ἁγιωτάτους Ἰσαποστόλους, καὶ φωςῆρας τῶν ὁρίων τούτων, καὶ κήρυκας τῆς ἀληθείας· οἱ ὁποῖοι ἠγωνίσθησαν κατὰ πολλὰ μὲ ζῆλον θεῖον, καὶ ἐγύρισαν τὰ πεπλανημένα ἔθνη τῶν αἱρετικῶν Μασσαλιανῶν, καὶ Βογομίλων τῶν Βουλγάρων, τῆς Μυσίας, Ἀλβανίας Δαλματίας, Ἰλλυρικοῦ, καὶ Σερβίας, εἰς τὴν ὀρθοδοξίαν· ἀπὸ τοὺς ὁποίους ἦτον ὁ ἅγιος Συμεὼν βασιλεὺς Βουλγάρων, ὁ πάππος τοῦ θαυμασιωτάτου ἁγίου τούτου, τοῦ ὁποίου, ὡς ἄνωθεν εἴπομεν, ὁ Πατήρ του ἦτον ὁ Νεεμᾶν, καὶ ἡ Μήτηρ αὐτοῦ Ἄννα Ῥωμαῒς, ἀπὸ γένους βασιλικοῦ καταβαίνοντες εἰς τὴν βασιλείαν αὐτῶν, εἰς τὰ μέρη ταῦτα τῶν Τριβαλλῶν τῆς Ἀλβανίας, καὶ εἰς τὰ πέριξ. Ἐγεννήθη δὲ εἰς τὸ χωρίον Βλαδιμήρου ὁ ἀειλαμπέστατος οὗτος καὶ φαεινότατος ἀστὴρ, ἀπὸ πιστοτάτους γεννήτορας, ἀπὸ τὸν βασιλέα Νεεμᾶν, καὶ τὴν βασίλισσαν Ἄνναν, ἁ-

γιώτατος βλαστὸς ἀπὸ ῥίζαν εὐλογημένην καὶ θεοχαρίτωτον· ὁ ὁποῖος ἐξ ἁπαλῶν ὀνύχων ἔλαμπε μὲ ἀρεταῖς καὶ χάριτες, νηστείαις, ἀγρυπνίαις, καὶ ἐλεημοσύναις, σκεῦος καθαρὸν καὶ ἅγιον, καὶ κατοικητήριον γενόμενος παιδιόθεν τοῦ Παναγίου Πνεύματος, καλῶς τε καὶ θεαρέστως ἀπὸ τὸν ἁγιώτατον τότε Ἀχριδῶν Ἀρχιεπίσκοπον παιδαγωγηθεὶς τὸν σοφώτατον καὶ ἐν ἁγίοις Νικόλαον τὸν θαυμαστόν· τὸν ὁποῖον οἱ γονεῖς αὐτοῦ συνέζευξαν μὲ τὴν θυγατέρα τοῦ βασιλέως Σαμουήλ. Ἐφύλαττε μὲν παρθενίαν ὁ τρισμακάριστος τοῦτος καὶ χαριτώνυμος Ἰωάννης, σχολάζων εἰς θεάρεστα ἔργα, καὶ ἐναρέτως διάγων μὲ ζῆλον ἔνθεον· μετὰ δὲ τὸν θάνατον τῶν γονέων του αὐτεξούσιος κατασταθεὶς βασιλεὺς, αὔξησε τὴν πίστιν, βάνωντας διδασκάλους, κήρυκας, καὶ ὁδηγοὺς νὰ νουθετοῦν, καὶ νὰ διδάσκουν, καὶ νὰ ἐπιστρέφουν τὰ ἔθνη, καὶ τὸν ὑποκείμενον αὐτοῦ λαὸν εἰς τὴν ὀρθοδοξίαν· ἔκτισε μοναστήρια, Ἐκκλησίας, καὶ ξενοδοχεῖα, καὶ νοσοκομεῖα. Ἔβαλε γοῦν μίαν τῶν ἡμερῶν κατὰ νοῦν εἰς τὰ ὅρια τοῦτα, ὁποῦ ἦτον δρυμῶνας, καὶ δάσος πυκνότατον, τόπος ἄγριος ἀπὸ τὰ δένδρα καὶ τὰ ποτάμια, καθὼς τὴν σήμερον φαίνεται, νὰ οἰκοδομήσῃ ξεχωριστὰ τόπον καὶ κατοικητήριον τῷ τρισυποστάτῳ Θεῷ· καὶ ἐκαβαλίκευσε μὲ τρεῖς μεγιστάνους τῆς βασιλείας του, τάχα περιδιαβάζωντας καὶ κυνηγῶντας· ἀλλὰ κυνηγῶντας, ἐκυνηγήθη κατὰ ἀλήθειαν παρὰ Θεοῦ, ὡς ἄλλος Πλακίδας Εὐστάθιος, ἢ εἰπεῖν μᾶλλον, ὡς δεύτερος Κωνσταντῖνος· καὶ οὐρανόθεν ὁδηγηθεὶς καὶ φωτισθεὶς, βλέπει εἰς τὸ δάσος μέσα ἕνα ἡλιοειδῆ ἀετὸν, ὅστις εἶχεν εἰς τὰ μετάφρενα αὐτοῦ, ἤγουν εἰς τὰ πτερά του ἐπάνω, ἕνα Σταυρὸν ὑπέρλαμπρον· καὶ τρέχοντας νὰ τὸν φθάσῃ, ἐμβῆκε μέσα εἰς τὸ δάσος, καὶ ἐστάθη ὁ ἀετός· ὁ ὁποῖος δὲν ἦτον ἀετὸς, ἀλλὰ ἕνας Ἀρχάγγελος, καὶ τὸν Σταυρὸν ἔστησεν εἰς τὸν τόπον τοῦτον, ὅπου κεῖται τώρα τὸ σεβασμιώτατον σκῆνος, καὶ ἡ σορός ἡ πάντιμος τῶν μυροβλύτων Ἁγίων Λειψάνων αὐτοῦ. Τότε ἐξεκαβαλίκευσε μὲ τοὺς τρεῖς μεγιστάνους, καὶ ἐπροσκύνησαν τὸν σταυρωθέντα Χριστὸν καὶ Κύριον, καὶ ἐπρόσταξε καὶ ἔκτισαν ἕνα εὐκτήριον οἶκον, μίαν Ἐκκλησίαν, εἰς τὸν ὁποῖον ἑπτάκις τῆς ἡμέρας ἤρχετο προσευχόμενος, καὶ ἡμέραν καὶ νύκτα ἀγρύπνα, ὥστε ὁποῦ ἡ σύζυγος αὐτοῦ ὑπόπτευε μήπως καὶ εἰς ἄλλην γυναῖκα ἐπήγενεν, ἐπειδὴ καὶ μὲ αὐτὴν ποσῶς δὲν ἐσυνευρίσκετο· καὶ διὰ τοῦτο ἔβαλε τὸν ἀδελφόν της νὰ ἐχθρευθῇ κατὰ πολλὰ ἐκ συνεργείας διαβολικῆς,

καὶ ἐγύρευε τρόπον νὰ τὸν θανατώσῃ, νὰ γένῃ κληρονόμος τῆς βασιλείας αὐτοῦ, καὶ νὰ στερεώσῃ ταῖς αἵρεσες τοῦ καιροῦ ἐκείνου, ὡς κρυφὸς αἱρετικὸς ὁποῦ ἦτον, καὶ ἄλλος Ἰσκαριώτης Ἰούδας, καὶ Καϊν ἀδελφοκτόνος, σπέρμα Χαναάν. Ἐκείναις ταῖς ἡμέραις γοῦν, ὁποῦ ὁ Πορφυρογέννητος Βασίλειος, ὁ τῶν Ῥωμαίων Βασιλεὺς, ἐκούρσευε καὶ ἐκυρίευσε τὰ Βουλγαρικὰ, Σερβικὰ, καὶ Γερμανικὰ μέρη ὑποτάσσωντάς τα, ἐπειδὴ ἔφθασε νὰ ἔμβῃ καὶ εἰς τὰ ὅρια εἰς τὴν ἐπαρχίαν τῆς βασιλείας τοῦ ἁγιωτάτου, καὶ γενναιοτάτου Ἰωάννου, ἁρματώθη ὁ χαριτεπώνυμος οὗτος Ἰωάννης ὁ βασιλεὺς, καὶ ὤντας ἁρματωμένος μὲ τὴν χάριν τοῦ Θεοῦ, καὶ μὲ τὰ φουσάτα του, ἠπήντησε τοὺς Ῥωμαίους, καὶ τοὺς ἐγύρισεν ἀπράκτους· καὶ νικήσας αὐτοὺς, καὶ κατατροπωσάμενος, ἔγινε μέγας καὶ κύριος εἰς ὅλην τὴν Βουλγαρίαν, Σερβίαν, Ἰλλυρικὸν, καὶ Ἀλβανίαν. Στραφεὶς οὖν διὰ νὰ ἔλθῃ ἐδῶ εἰς τὴν Ἀλβανίαν, τότε ηὗρε καιρὸν ὁ θεοήλατος γυναικάδελφός του, καὶ εἰς τὸ κατέβασμα εἰς τὸν δρόμον ἔδειξεν ἔξαφνα τὴν ἐπιβουλήν του μέσα εἰς τὸ φουσάτον, καὶ ἐξεσπάθωσε, διδοὺς αὐτῷ μίαν σπαθίαν, ἀλλὰ μάταια ἐκοπίασε· καὶ εἰς τὴν δευτέραν τοῦ δίδει ὁ δίκαιος τὸ ἴδιον βασιλικὸν σπαθί του, καὶ τοῦ λέγει· Ἔπαρε, καὶ διὰ τὴν ἀλήθειαν, καὶ τὴν Ὀρθοδοξίαν, ἀποκεφάλισέ με· εἶμαι ἕτοιμος, ὡς ἄλλος Ἰσαὰκ καὶ Ἄβελ, διὰ τὴν ὁμολογίαν τοῦ Χριστοῦ καὶ τὴν εἰς Χριστὸν πίστιν, νὰ θυσιασθῶ· τότε τοῦ κατεβάζει μὲ τὸ σπαθί του ὁ ἄσπλαγχνος, καὶ, ὢ τοῦ θαύματος! ὡσὰν τὸν ἀποκεφάλισεν, ἅρπασε μὲ τὰ ἴδιά του χέρια τὴν ἁγίαν του κεφαλὴν, καὶ ποσῶς δὲν ἐξεκαβαλίκευσεν ἀπὸ τὸ χρυσοχαλήνωτον καὶ βασιλικὸν μουλάριον ὁ Ἅγιος Ἰωάννης, μόνον ἔτρεχε καβαλάρης, ψάλλωντας καὶ αἰνῶντας τὸν Θεὸν, καὶ λέγωντας· Ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, Εἰς οἶκον Κυρίου πορευσώμεθα, καὶ ἄλλα καθ' ὁδόν· τὸ ὁ ὁποῖον τόλμημα βλέποντες τὰ φουσάτα, ἐθαύμασαν, ἔκλαιον, ἐθρήνουν, ἐκόπτοντο, καὶ ἔτρεξαν νὰ ἁρπάσουν τὸν ἐπίβουλον, τὸν φονέα· ἀλλὰ εὐθὺς ἐκεῖνος ἐλύσιαξεν, ὢ τέρας μέγα! καὶ ἔτρωγε τὰς σάρκας του· καὶ ὡσὰν εἶδεν ὁ Κόσμος, ἐβγῆκαν Ἱερεῖς, Ἀρχιερεῖς, Μεγιστάνες, καὶ Ἄρχοντες νὰ συναπαντήσουν τὸν γαληνότατον Βασιλέα, τὸν Πατέρα τῶν ὀρφανῶν, καὶ χηρῶν προστάτην, καὶ ἀκολούθησαν ἕως ὁποῦ ἦλθε καὶ ἐξεκαβαλίκευσεν εἰς τὸν τόπον τοῦτον, καὶ ἐπρόσφερε μὲ τὰ ἴδιά του χέρια τὴν κεφαλήν του, λέγωντας· Κύριε εἰς χεῖράς σου παρατίθημι τὸ

πνεῦμά μου. Τότε ἠκούσθησαν ψαλμῳδίαις οὐρανόθεν, καὶ ἐγέμησεν ὁ τόπος εὐωδίας πνευματικῆς, καὶ ἐκήδευσαν τὸ παρθενικώτατον ἐκεῖνο καὶ βασιλικὸν σῶμα οἱ εὑρεθέντες Ἀρχιερεῖς καὶ Ἱερεῖς, τὰ στρατεύματα, ὁ λαὸς ὅλος· καὶ πολλοὶ ὀρφανοὶ καὶ πτωχοὶ ἐθρήνουν, πῶς ὑστερήθησαν τοιούτου προστάτου καὶ ἀντιλήπτορος· πολλοὶ χωλοὶ καὶ ἀσθενεῖς μόνον ἀσπαζόμενοι τὸ Ἅγιόν του Λείψανον, ἰατρείας ἀπελάμβανον. Καὶ ὕστερον κακὴν κακῶς ἀπεῤῥάγη ὁ φονεὺς ἐκεῖνος, ὁ γυναικάδελφός τȣ, λυσιασμένος εἰς ἔνδειξιν πολλῶν, καὶ ἐσβέσθη μὲ ταῖς κακίαις του· καὶ ἡ αἴτιος τοῦ φόνου, ἡ πονηροτάτη του σύζυγος, ἡ γυνὴ ἡ Βασίλισσα, πολλὰ μεταμεληθεῖσα, ἐμετανόησε δακρύουσα, καὶ ὀλολύζουσα γοερῶς ἐθρήνει, γυρεύουσα συγχώρησιν εἰς τὸ κακὸν ὁποῦ ἐπαρακίνησε καὶ ἔγινε. Καὶ ἀφ' οὗ ἔθαψαν τὸ Ἅγιον σῶμα καὶ ἀθλητικώτατον ἐκεῖνο τοῦ Μάρτυρος, ᾠκοδόμησαν ἕνα θαυμασιώτατον Ναόν, ὁ ὁποῖος εἶναι οὗτος, ὁποῦ ἀπὸ τὴν πολυκαιρίαν καὶ ἀπὸ τȣ̀ς σεισμοὺς εἶχε σαθρωθῆ, καὶ τώρα τριακοσίους ἐννέα χρόνους ἐξανακτίσθη ἀπὸ τὸν πανυψηλότατον Κάρλα Θεωπίαν, ἀνεψιὸν τȣ͂ τότε Βασιλέως Φραγγίας, καὶ μέχρι τῆς σήμερον κατ' ἔτος εἰς τὴν μνήμην τȣ πανήγυρις μεγάλη γίνεται. Ἀπὸ τὸν καιρὸν τοῦ μαρτυρίȣ καὶ τῆς κοιμήσεώς τȣ εἶναι χρόνοι ἑπτακόσιοι ὀγδοήκοντα· καὶ περισσοὶ ἀῤῥωστημένοι καὶ ἀναγκευμένοι ἰατρεύονται· καὶ καθὼς ἔχομεν ἀπὸ παλαιοὺς ἀκουσμένον, πολλάκις πολλοὶ ἐβουλήθησαν τὸ πάνσεπτον καὶ ἅγιον Λείψανόν του νὰ πάρουν, καὶ νὰ τὸ στερήσουν ἀπὸ τὸν τόπον τοῦτον, καὶ ἀπὸ τὴν ἁγίαν του Μονὴν, καὶ δὲν ἐδυνήθησαν· μίαν φορὰν οἱ Φράγγοι τὸ ἐπῆραν, καὶ ἔσκασαν τότε ἐκεῖ ὅσον νὰ τὸ κατεβάσουν εἰς τὸν τόπον, ὁποῦ ὀνομάζεται Σκουμβὶ, δεκαέξ μουλάρια, ὥστε ὁποῦ ῥίχνοντές το μέσα εἰς τὸν ποταμὸν λεγόμενον Σκουμβίον, διὰ νὰ κατέβη εἰς τὴν θάλασσαν, ὢ τοῦ θαύματος! ἐγύρισεν ὀπίσω, πλημμυρήσαντος τοῦ ποταμοῦ· καὶ γυρίζοντας, ἐφάνη εἰς τὴν Κούσσιαν, τὸ παραπόταμον οὕτω λεγόμενον, ἡ θήκη μὲ τὸ ἅγιόν του Λείψανον, ὅπȣ πολλάκις ἐφάνη καὶ Ἅγιον φῶς εἰς τοὺς Ἐγχωρίους· καὶ μετὰ ταῦτα πέρνοντες οἱ Πιστοὶ τὸ ἱερὸν αὐτοῦ Λείψανον, μὲ Λιτανείαν ὕστερον τὸ ἔφερον πάλιν εἰς τὴν ἁγίαν Μονὴν ταύτην. Καὶ τὶ νὰ εἰπῇ τινὰς πρότερον; ἄπειρα θαύματα καθ' ἑκάστην κάμνει, καὶ τὸ περισσότερον ποτὲ ὀσμὴν πορνείας καὶ ἀσελγείας εἰς τὴν μονήν του δὲν στέργει, μάλιστα τοὺς δουλεύοντας αὐτὸν μὲ πίστιν, τοὺς ἐγλύ-

τωσε καὶ τοὺς γλυτώνει ἀπὸ διαφόρους κινδύνους· ὥστε ὁποῦ τὰ ἀνεκδιήγητα καὶ καθημερινά τȣ θαύματα εἰς τὰ μέρη ταῦτα, εἶναι εἰς στερέωσιν τῆς Καθολικῆς καὶ Ἀποστολικῆς ἡμῶν Πίστεως· καὶ ἀκαταπαύστως ὡς ἡλιακαὶ ἀκτῖνες τὴν περίχωρον ταύτην καταλαμπρύνουσι. Τὸ λοιπὸν, ὦ μυροβλύτα Μεγαλομάρτυς, καὶ σημειοφόρε πανθαύμαστε, Ἅγιε Ἰωάννη Βλαδίμηρε, σκέπε, φρούρει, λύτρωσον τοὺς μετ' εὐλαβείας προσερχομένους, καὶ πανηγυρίζοντας τὴν Ἁγίαν σου μνήμην, ἀπὸ πάσης βλάβης καὶ ἐπηρείας· ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν ἐλευθέρωσον· πρέσβευε, ὡς παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν· φύλαττε τὴν πολιτείαν ταύτην ἀπὸ πᾶσαν ἀνάγκην, θλίψιν τε καὶ στενοχωρίαν, θανάτου πικρȣ͂ καὶ κινδύνȣ, καὶ ἐξιλέωσαι τὸν πανοικτίρμονα Θεὸν διὰ τὸν κόσμον, καὶ τὸν λαὸν τοῦτον ἐλευθέρωσον· καὶ ἡμᾶς τȣ̀ς ἐλεεινοὺς δούλους σου, ὁποῦ ὑπηρετοῦμεν τὸν πάνσεπτον καὶ ἅγιον Ναόν σȣ, Μοναχοὺς, Ἱερομονάχους, τὰ ὀρφανὰ, ὁποῦ εἰς τὴν σκέπην σȣ περιμαζώνονται καὶ καταφεύγουν· τοὺς ἐλεοῦντας ἡμᾶς καὶ συνδρομȣ͂ντας καὶ προφθάνοντας πρόφθασον, ἁμαρτιῶν ἀφέσεως τυχεῖν ἀξίωσον, καὶ ζωῆς τῆς αἰωνίȣ, ἀθανάτȣ καὶ ἀτελευτήτȣ μετασχεῖν. Τοῦτο εἶναι τὸ κομψὸν καὶ σύντομον Συναξάριον Χριστιανοί μου τȣ͂ Ἁγίου· ἀμὴ τὸ μεγάλον Βιβλίον εἶχε περισσότερα τῆς Ἀκολουθίας καὶ τῆς διηγήσεως, τὸ ὁποῖον ἐχάθη· εἰς δὲ τὰ βιβλία τὰ Σερβικὰ σώζεται καλλίτερα ὁ βίος καὶ τὰ θαύματα τȣ͂ Ἁγίου. Οὗ ταῖς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, διὰ τῆς Ἁγίας Ἀειπαρθένȣ Μαρίας ἐνδόξȣ Δεσποίνης ἡμῶν Θεοτόκȣ, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Νῦν εἰς τὰ ἄνω κατοικεῖ ὁ Χριστός σε βασίλεια, Μάκαρ εὐσεβῶς, λατρεύσαντα τῷ Θεῷ, καὶ πιστῶς ἀνακραυγάζοντα· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δεσπόζεις πᾶσαν Ἰλλυριῶν τὴν γῆν πανένδοξε· σὺ γὰρ βασιλεύσας ἔνδοξε ἐπ' αὐτῆς, ὡς πιστὸς δοῦλος καὶ γνήσιος, Εὐλογημένος εἶ ὁ Θεός μου, ἀνέκραζες, καὶ Κύριος.

Ἐκ τῶν ὑψίστων ὁ Χριστός σε δοξάζει Βλαδίμηρε· πόθῳ καὶ ἡμεῖς δοξάζομεν ἀθλητὰ, τὴν πανέορτόν σου ἄθλησιν, Εὐλογημένος ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Θεοτοκίον.

Σὲ ἀνυμνοῦμεν, Θεοτόκε Θεόνυμφε Δέσποινα· σὺ γὰρ τὸν τῶν ὅλων κτίστην τε καὶ Θεὸν, ἐν ἀγκάλαις σου ἐβάστασας. Εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

"Αλλος. Δροσοβόλον μέν.

Ἀλβανίας Ἰωάννη ὤφθης ἔνδοξε, ἀστὴρ ἀειλαμπέστατος· ἐν ᾗ τὸ σκῆνος τὸ σεπτόν σου κείμενον ποιεῖ, θαυμάτων παράδοξα σοφέ, εἰς φωτισμὸν τῶν εὐσεβῶς μακαριζόντων σε.

Λαμπρυνθεὶς τοῖς σοῖς παθήμασι Μακάριε, λάμπεις τοῦ στερεώματος, τηλαυγέστερον καταυγάζων χάριτι τῇ σῇ, συμφώνως τοὺς ψάλλοντας Χριστῷ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θυμηδίας καὶ χαρᾶς ἁπάσης ἔμπλεοι, ἑόρτιον τὴν μνήμην σου, ὦ Βλαδίμηρε τὴν Ἁγίαν καὶ Μαρτυρικὴν, τελοῦντες βοῶμεν τῷ Χριστῷ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὃν ἐκύησας Παρθένε παναμώμητε, πᾶσι πιστοῖς τὸν Κύριον, ἐκλυτρώσασθαι τῆς ἀρᾶς τὸ γένος τῶν βροτῶν, ἱκέτευε Ἄχραντε Ἁγνὴ, εὐλογημένη ἀληθῶς Κυρία Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Ποθήσας Σταυρὸν τὸν τοῦ Χριστοῦ, παμμάκαρ ἔνδοξε· τὴν χάριν δέδεξαι, τοῦ ἰᾶσθαι τοὺς προστρέχοντας, τοὺς μετὰ πίστεως θερμῆς νῦν ἐξαιτοῦντάς σοι, καὶ βοῶντας· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ πάντων προβλέπων σου Θεὸς, τὰς πράξεις ἔνδοξε, νῦν σοι δεδώρηται, τῶν θαυμάτων τὰ παράδοξα, ἐκ τῆς αὐτοῦ θείας χειρὸς, ὃν ἀνυμνοῦντες πιστῶς, ἐκβοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Τὴν μνήμην σου ἅπαντες Πιστοὶ, ὕμνοις δοξάζοντες, θεόφρον πάνσοφε, καὶ τὴν ἁγίαν σου κοίμησιν, θεοφρόνως ἀναμέλπομεν, τῷ ἐκ Παρθένου δι' ἡμᾶς σεσαρκωμένῳ Θεῷ, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἡμᾶς τοὺς ὑμνοῦντάς σε πιστῶς, καὶ σοὶ προστρέχοντας, Θεόφρον ἔνδοξε, δίδου ἡμῖν πᾶσαν Ἅγιε, τὴν σὴν χάριν ἱκετεύουσιν, ἐκ τῶν Λειψάνων σου πιστῶς, νῦν ἀπαντλήσασθαι, καὶ βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Νύμφην καὶ Παρθένον ἀληθῶς, κυρίαν ἄχραντον, Μητέρα ἄνανδρον, πάντες σὲ δοξάζομεν λέγοντες· Παναγία παναμώμητε, μὴ ὑπερίδῃς τοὺς πιστῶς ἀνακραυγάζοντας, καὶ βοῶντας· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

"Αλλος. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Νῦν εὐφραίνεται πόλις ἡ Δυῤῥαχίου φαιδρῶς, σὲ προστάτην καὶ ῥύστην, ἔχουσα πάνσοφε· νέος γὰρ αὐτῇ ἀνατείλας ὡς Ἥλιος, ταύτην καταυγάζεις ὑμνοῦσάν σε Θεόφρον.

Βαρυνθέντα μεγέθει, τῶν ἀνυποίστων κακῶν, τὸν λαόν σου ἐν πίστει ἀεὶ τιμῶντά σε, ταῖς σαῖς πρὸς Θεὸν ἱκεσίαις λυτροῦσαι ἀεὶ, ἀνυμνολογοῦντα, Χριστὸν, εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα.

Ἀπὸ πάσης ἀνάγκης, ῥῦσαι τοὺς δούλους σου, τοὺς τὴν ἔνδοξον μνήμην, ἐπιτελοῦντάς σοι, Μάρτυς τοῦ Χριστοῦ, Ἰωάννη μακάριε, καὶ πιστῶς ὑμνοῦντας, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἵνα σε Θεοτόκε, πάντες δοξάζωμεν, ὡς τεκοῦσαν τὸν Κτίστην καὶ Ποιητὴν τοῦ παντὸς, πρέσβευε ἀεὶ, λυτρωθῆναι τοὺς δούλους σου, πάσης ἐπηρείας, καὶ βλάβης τῶν Δαιμόνων.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Δέχου τὰς δεήσεις παμμάκαρ, τῶν σὲ ὑμνούντων μετὰ πόθου· δίδου τὴν σὴν χάριν Θεόφρων, ἡμῖν τοῖς πίστει ἀνευφημοῦσί σε· διὸ ἡμεῖς οἱ δοῦλοί σου, σὲ Ἰωάννη μεγαλύνομεν.

Ἄναξ Ἰωάννη θεόφρων, ἡμῖν τοῖς πίστει προσιοῦσι, λύσιν ἁμαρτάδος παράσχου, καὶ θείας δόξης τυχεῖν ἱκέτευε, τοὺς πόθῳ ἀνυμνοῦντάς σε, καὶ μεγαλύνοντας τρισόλβιε.

Νίκην σοι ὁ πάντων Δεσπότης, νέμει ἐξ ὕψους Ἀθλοφόρε, σοῦ τὸ καρτερὸν καὶ γενναῖον, κατὰ τῆς πλάνης προβλέπων ἔνδοξε· νικητικοῖς βραβείοις σε, ὡς νικητὴν ὄντως ἐδόξασε.

Ἴδες Κωνσταντῖνος ὡς ἄλλος, Μάκαρ Σταυρὸν τὸν τοῦ Κυρίου, οὗ ταῖς ἡγεσίαις ἀνῆλθες εἰς τόπον, ἔνθα νῦν οἱ προστρέχοντες, λαμβάνουσιν ἰάματα, Σταυροῦ τῇ χάριτι σωζόμενοι.

Ἤθλησας νομίμως τῷ πόθῳ, Χριστοῦ τοῦ πάντων βασιλέως· ἔλαμψας ἐν Κόσμῳ ἀκτῖσι, τῶν ἰαμάτων, καὶ τὴν σκοτόμαιναν, τῆς πλάνης ἀπεδίωξας, ὀρθοδοξίᾳ καλλυνόμενος.

Θεοτοκίον.

Λύτρωσαι ἡμᾶς τῶν κινδύνων, ἐπερχομένων καὶ τῆς ἄνω, θείας βασιλείας ἀξίους, γενέσθαι δεῖξον θεοχαρίτωτε, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνοντας.

"Αλλος. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Λιμένα θεῖον Μάρτυς κατέχουσα, τοῦ Δυῤῥαχίου πόλις Ἰωάννη μακάριε, πρὸς Θεὸν νῦν προβάλλεται πρόμαχον, ῥύοντα

τῶν κινδύνων καὶ περιστάσεων, πίστει τε καὶ πόθῳ, ἀκλινεῖ ἀνευφημοῦσά σε.

Ἡ γῆ τὸ αἷμά σου καρτερόψυχε, ὡς τὸ τοῦ Ἄβελ πάλαι δεξαμένη ἐκραύγαζε, μονονοὺ τὴν αὐτὴν ἀφιεῖσα φωνὴν, κατὰ τοῦ ἀντιπάλου καὶ πολεμήτορος, πρὸς Χριστὸν τὸν πάντων, βασιλέα καὶ Θεὸν ἡμῶν.

Λυσσῶν ὁ δείλαιος ἐπετίθετο, σὸς συγγενὴς μανεὶς κατὰ Χριστοῦ σὴν ἀπέτεμε, κεφαλὴν δυσμενῶς· ἀλλὰ ταύτην λαβὼν, ἔτρεχες ἐπὶ τόπον τῆς ἀναπαύσεως, ἐκεῖνος δὲ ἐῤῥάγη, ὡς Ἰούδας ἄλλος δόλιος.

Θεοτοκίον.

Σοφῶς τὸν ἄνθρωπον πρὶν διέπλασεν, ὁ σὸς Υἱὸς Παρθένε, καὶ φθαρέντα ἀνέπλασε, διὰ σοῦ πανύμνητε, καὶ θείου φωτὸς, αἴγλης τῆς ἀνεσπέρου, πάντας ἐπλήρωσε, τοὺς σὲ Θεοτόκον ἀληθῆ πίστει δοξάζοντας.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός σε ἐμεγάλυνεν, ἐν θαύμασιν ὁ Κύριος, ὡς ἑαυτοῦ ὑπηρέτην, Βλαδίμηρε Ἰωάννη. Τοῦτον δοῦναι ἱκέτευε, ἁμαρτιῶν τὴν ἄφεσιν, ἐν ᾄσμασι τὴν πάνσεπτον, καὶ παναγίαν σου μνήμην, εὐσεβοφρόνως τελοῦσιν.

Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτȣ Τριάδος, δοχεῖον γεγεννημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν σοι κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους, Στιχηρά, Ἦχος πλ. δ'.
Ὢ τοῦ παραδόξου θαύματος.

Δεῦτε ἀθροίσθητε ἅπαντες, ἐν τῷ ἁγίῳ Ναῷ, τοῦ σοφοῦ καὶ τρισμάκαρος, Ἰωάννου ἄνακτος, καὶ δοξάσωμεν Κύριον, τὸν δόντα τούτῳ δόξαν καὶ χάριν τε, καὶ ἰαμάτων βλύζειν τὰς χάριτας. Ὢ παμμακάριστε, τῶν Ἀγγέλων μέτοχε, καὶ πρεσβευτὰ, σῶσον τὰς ψυχὰς ἡμῶν, Θεομακάριστε.

Μάρτυς Ἰωάννη ἔνδοξε, σὺ τὸν Σταυρὸν τοῦ Χριστοῦ, ὁλοψύχως ἀράμενος, τῷ Χριστῷ προσέδραμες, ὁπαδὸς μέχρις αἵματος· ἐχθροὺς νικήσας τῇ καρτερίᾳ σου, καὶ τούτων Μάκαρ ξηράνας χείμαῤῥον, χαίρων τὸ σῶμά σου, πρὸς σφαγὴν παρέδωκας· ὅθεν τὴν σὴν, κάραν ἐστεφάνωσεν, ὁ Μεγαλόδωρος.

Πάθει τὸ πάθος μιμούμενος, τὸ ζωηφόρον Χριστοῦ, παρ' αὐτοῦ τὴν ἐνέργειαν, τῶν θαυμάτων εἴληφας, ἀθλοφόρε Βλαδίμηρε, καὶ διασώζεις τοὺς σοὶ προστρέχοντας, πολλῶν κινδύνων αὐτοὺς ῥυόμενος, ἔχων εὐάρεστον, παῤῥησίαν ἔνδοξε, πρὸς τὸν Χριστὸν, ᾧ καὶ νῦν παρίστασαι, δόξης πληρούμενος.

Ξίφει κεφαλὴν τεμνόμενος, ἀπὸ ζωῆς εἰς ζωὴν, ἐκ θνητῆς εἰς ἀθάνατον, καὶ φθαρτῆς πρὸς ἄφθαρτον, προφανῶς μεταβέβηκας, μὴ ἀναμείνας φύσεως νέκρωσιν, ἀλλ' αὐθαιρέτως θανεῖν ἑλόμενος. Ὢ τῶν ἀγώνων σου, βασιλεῦ πανένδοξε, δι' ὧν χοροῖς, Ἀθλητῶν ἠρίθμησαι, συναγαλλόμενος!

Δόξα. Ἦχος γ'.

Καταλιπὼν τοῦ Κόσμου, καὶ τοῦ βίου τὰ πρόσκαιρα, καὶ ἐπιποθήσας Σταυρὸν τὸν πανσεβάσμιον, ἀνῆλθες πρὸς τὰ ἄνω βασίλεια, ὡς ἀετὸς ὑψιπέτης, Ἰωάννη πανεύφημε. Διὸ καὶ ἡμεῖς ἐκ τῶν σῶν Λειψάνων χαρίσματα λαμβάνομεν· καὶ μῦρα μυρίζεις προχέων, ἀθλητὰ τοῦ Χριστοῦ, Μάρτυς πανθαύμαστε, καὶ εἰς Οὐρανοὺς χορεύεις μετὰ Ἀγγέλων. Καὶ νῦν παρὰ σοῦ αἰτούμεθα, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς· εἰδὲ μὴ, Θεοτοκίον, οἷον βούλει.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων, Ὠδὴ γ'. καὶ ς'.

Ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον εἰς Μάρτυρας.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ.

Τὸν ἀστέρα πάντες τὸν φαεινὸν, τὸν ἐκ Βλαδιμήρου ἀπαστράψαντα νοητῶς, Μαρτύρων τὸ κλέος, καὶ Βασιλέων δόξαν, τὸν θεῖον Ἰωάννην, ὕμνοις τιμήσωμεν.

ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ

ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ.

Κλέος Βασιλέων, καὶ ἀγλάϊσμα θεῖον Μαρτύρων,
Πέλει ὁ γενναῖος οὗτος καὶ πανεύφημος Μεγαλομάρτυς.
Ὄντως Ἰωάννης, χαριτώνυμος ὁ ἐν Ἁγίοις,
Κῦδος Βλαδιμήρου, ἐγκαλλώπισμα φαιδρὸν τοῦ πόλου,
Ἄναξ χρηματίσας πάσης Ἰλλυριῶν γῆς, καὶ Ἀλβανίας,
Τῆς τε Βουλγαρίας, Μυσσῶν, Δαλμάτωντε, καὶ τῆς Σερβίας,
Ἤθλησεν ἀνδρείως ὑπὲρ τῆς πίστεως Χριστοῦ καὶ ἀληθείας.
Στέφος, κράτος, δόξαν, τὰ ἐπίκηρα καταφρονήσας,
Νῦν τῆς ἀθανάτου τῶν Οὐρανίων τετύχηκε βασιλείας.
Παρεστὼς τῷ θρόνῳ τοῦ Παντάνακτος Θεοῦ τῶν ὅλων,
Μετὰ τῶν Ἀγγέλων καὶ Ἁγίων ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύει.
Οὗ τὸ θεῖον σκῆνος καὶ τὸ Λείψανον ἐνθάδε κεῖται,
Σορὸς ἡ τιμία, κόνις ἄμωμος καὶ σεβασμία,
Θαύμασι παντοίοις κλεϊζόμενον καὶ τεκμηρίοις.
Ἄνωθεν δωρεῖται τοῖς προστρέχουσι θερμῶς ἰάσεις,
Ἄφεσιν πταισμάτων, καὶ συγχώρησιν παραπτωμάτων,
Τοῖς ἐν μετανοίᾳ, πόθῳ ζέοντι, πιστῇ καρδίᾳ.
Κράξωμεν οὖν πίστει· Παμμακάριστε Μάρτυς Κυρίου, θεῖε Ἰωάννη Βλαδίμηρε,
Ῥῦσαι ἡμᾶς πάντας τοὺς προστρέχοντας τῷ σῷ τεμένει,
Πάσης ἐπηρείας, βλάβης, ζάλης τε, δεινῆς ἀνάγκης,
Ὁρατῶν ἐχθρῶν, ἅμα μέντοιγε τῶν ἀοράτων.
Ἔχεις παῤῥησίαν γὰρ, ὡς ἀήττητος σημειοφόρος.
Πάντων προστατεύεις τῶν τιμώντων σε, ὡς ἀθλοφόρος.
Σκέπε δὴ κἀμὲ τὸν οἰκτρὸν θεράποντα, καὶ σοῦ οἰκέτην,
Κοσμᾶν ταπεινὸν, Κυτιαίων πόλεως Κυπρίου νήσου Ἀρχιερέα.

ΤΟ ΤΟΥ ΒΛΑΔΙΜΗΡΟΥ ΙΩΑΝΝΟΥ ΑΝΑΚΤΟΣ ΣΕΠΤΟΝ ΣΚΗΝΟΣ.



Λιθογραφία βραβευθεῖσα τοῦ Βαρότσι καὶ Κορράδινη.

ΕΠΕΙΤΑ ΦΟΡΕΜΕΝΟΙ ΟΙ ΙΕΡΕΙΣ

ΕΚΒΑΛΛΟΥΣΙ ΤΟ ΑΓΙΟΝ

ΛΕΙΨΑΝΟΝ

Κυκλοῦντες τὸ Ἱερὸν αὐτοῦ Κουβούκλιον τρίς.

Ποίημα τοῦ Ἐλπασανίτου Θεοδώρου Χατζηφιλιππίδου.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Βλαδίμηρε τρισμάκαρ.

Δεῦτε οὖν ἐν ὕμνοις, κυκλώσωμεν τὸν τάφον, τοῦ Θείου Ἰωάννου.

Τὸν Μάρτυρα Κυρίου, τιμήσωμεν προθύμως, ἐν τῷ αὐτοῦ τεμένει.

Προσδράμωμεν ἐν φόβῳ, ἐν τῇ σορῷ τῇ Θείᾳ, τοῦ Μάρτυρος Κυρίου.

Ἐξ ἀκενώτων μύρων, τῆς Θήκης Ἰωάννου, ἰάσεις νῦν δωροῦνται.

Ἐν Οὐρανίοις θώκοις, μετὰ τῶν μακαρίων, κατάπαυσιν νῦν εὗρες.

Ὦ Ἰωάννη μάκαρ, τῆς Ἀλβανίας κλέος, Ἰλλυρικοῦ ἡ δόξα.

Μεγάλων χαρισμάτων, χαριτοβρύτων δώρων, χαρίσματα προχέεις.

Πρόφθασον Μυροβλύτα, τοὺς ὧδε προσδραμόντας, τὴν ἑορτὴν τελέσαι.

Μετὰ ἁγίων πάντων, καὶ τῶν ἀΰλων νόων, νῦν συνδοξάζῃ Μάκαρ.

Ὡς ἄφρων συγγενής σου, ἀπέτεμε τὴν κάραν, τὴν σὴν τιμίαν Ἄναξ.

Τοῖς πόθῳ τε καὶ φόβῳ, τὸ σκῆνός σου τιμῶσι, δίδου τὰ πρὸς συμφέρον.

Τμηθεὶς ἐφ' ἡμίονος, ἠκούσθης φέρων κάραν, ὡς ὁ ἐν μυροβλύταις.

Κατὰ τῆς Ἄγαρ γένους, ὁπλίζου ἡμᾶς ῥῦσαι, τοῦ ἀεὶ τυραννοῦντος.

Πᾶσα πνοὴ καὶ φύσις, χαρήτωσαν συμφώνως, τῇ μνήμῃ Ἰωάννου.

Ὦ Χαριτοβρύτα, καὶ Μάρτυς Μυροβλύτα, τοὺς σὲ ὑμνοῦντας σκέπε.

Τοὺς σοῦ περικυκλοῦντας, τὸν τάφον ἡμᾶς σῶσον, ἐπηρειῶν παντοίων.

Τῆς Ἀλβανίας γένος, σὺν τῷ τῆς Βουλγαρίας, δοξάζουσί σε Μάκαρ.

Ὀρθῶς βασιλεύουσιν, ὡς Βασιλεὺς παράσχου, νίκην κατ᾽ ἀντιπάλων.

Εἰρήνην τοῖς σοῖς δούλοις, ὁμόνοιαν καὶ ῥῶσιν, δώρησαι τὴν κατ᾽ ἄμφω.

Ὡς παῤῥησίαν ἔχων, πρέσβευε ὑπὲρ πάντων, τυχεῖν τῆς ἄνω δόξης.

Δοξάσωμεν ἐν δόξῃ, τὸν δοξάσαντά σε, ἵνα συνδοξασθῶμεν.

Δόξα.

Τῷ θρόνῳ τῆς Τριάδος, σὺ παρεστὼς πρεσβεύεις, ὑπὲρ τῶν σὲ τιμώντων.

Καὶ νῦν.

Ἡ Θεοτόκος κόρη, Ἐμμανουὴλ ἡ Μήτηρ, Βλαδίμηρε σὲ στέφει.

Δευτέρα Στάσις· ἧς ἡ Ἀκροστιχίς·

Ὕμνους ὡς δῶρον προσδέχου, Ἰωάννη.

Ποίημα τοῦ αὐτοῦ Θεοδώρου. Ἡ ζωὴ ἐν τάφῳ.

Ὑμνογράφοι πάντες, συναθροίσθητε νῦν, σὺν ἐμοὶ τοῦ ἀνυμνεῖν τὸν Βλαδίμηρον, Ἰσαπόστολον καὶ ὄντως φαεινόν.

Μέμνησο τῶν πίστει, τῶν ἐν τῷ σῷ Ναῷ, ζώντων τε καὶ κοιμημένων τὴν ἄφεσιν, ἱκετεύων τοῦ δοθῆναι ἐκ Θεοῦ.

Νυμφῶνος προσκαίρου, βδελυττόμενος σὺ, τὸν οὐράνιον ἀπέλαβες Ἔνδοξε, συνηδόμενος ἀῤῥήτῳ ἡδονῇ.

Οἱ ἐν ἀνιάτοις, ἀλγηδόσι πιστοὶ, τῷ ἀμίσθῳ ἰατρῷ νῦν προσέλθετε, ἵνα λάβητε τὴν ῥῶσιν τῶν παθῶν.

Ὕμνους ἐξοδίους, τῶν Ἀγγέλων χοροὶ, καὶ ἀνθρώπων ἀπονέμουσιν Ἅγιε, σοῦ τρωθέντος ὑπὸ τῶν σῶν συγγενῶν.

Σὺν τοῖς μεγιστᾶσι, τὸν ὀφθέντα Σταυρὸν, προσκυνήσας ἐν αὐτῷ κατηδάφισας, τῶν Δαιμόνων δύναμιν καθ᾽ ἡμῶν.

Ὡς Μωσέως θήβη, ἐν θαλάσσῃ ποτὲ, τῶν λειψάνων σου ἡ θήκη διέδρασεν, ἐπιπλεύσασα τὸν νέον Φαραώ.

Σταυρός σοι ἐφάνη, Κωνσταντίνῳ καθὰ, οὐρανόθεν ἐν τῷ τόπῳ τὸ σῶμά σου, ὧπερ κεῖται μυριπνοῦν ὡς θησαυρός.

Δὸς τὴν λύσιν Χριστὲ, Ἰησοῦ μου κἀμοὶ, ὀφλημάτων ἅπερ ἔπραξα δέομαι, ἱκεσίαις Ἰωάννου τοῦ Σοφοῦ.

Ὤφθης ὡς φωσφόρος, ἐν Ἀλβανίας γῇ, θεὶς διδάσκειν διδασκάλους τὸ ὄνομα, τὸ πανάγιον Τριάδος τῆς σεπτῆς.

Ῥήσεσι Προφητῶν, Ἄγγελοι καθ᾽ ὁδόν σε ἐπήνουν τετμημένον, ἱππεύοντα, μέχρις ἔφθασας τὸν τόπον ποθεινόν.

Ὀρθαυτοκρατόρων, θαυμαστὲ Βασιλεῦ, τὰ τῶν στρατευμάτων ὅπλα κραταίωσον, παρεχόμενος τὴν νίκην κατ᾽ ἐχθρῶν.

Νῦν προσπίπτομέν σοι, δακρυῤῥόοι· πικρᾶς τυραννίας τῆς ψυχῆς καὶ τοῦ σώματος, ἡμᾶς σπεῦσον ἐκλυτρώσασθαι ἀεί.

Πορφυρογεννήτου Βασιλείου στρατὸν, τῇ τοῦ Πνεύματος δυνάμει νενίκηκας, ὁπλιζόμενος τὰ ὅπλα κατ᾽ αὐτοῦ.

Ῥώσεων ταχέων τί προσενέγκω σοί, ἃς ἐκ σοῦ ἀπολαμβάνω ἑκάστοτε; εἰμὴ αἴνους σοὶ προσοίσω ἀντ᾽ αὐτῶν.

Τοῖς τὴν σὴν τελοῦσι μνήμην πίστει ὀρθῇ, καὶ αἰτοῦσι τοῦ λαβεῖν ῥῶσιν δώρησαι τὴν κατ᾽ ἄμφω, ὡς δοτὴρ τῶν δωρεῶν.

Στέμμα τὸ φθαρτόν σου, καταλείψας εἰς γῆν, τὸ ἀκήρατον καὶ ἄφθαρτον εἴληφας, νῦν παρέχων τὰς ἰάσεις τοῖς πιστοῖς.

Δροσίσαι τὴν φλόγα τῶν ἡμῶν ἡδονῶν, παῤῥησίᾳ σου θεόφρων Βλαδίμηρε, ἱκετεύων μὴ ἐλλείπῃς τὸν Θεόν.

Ἐκ ζωῆς εἰς ζωὴν, ἐκ γῆς πρὸς οὐρανὸν, ἐκ φθαρτῆς σου βασιλείας, πρὸς ἄφθαρτον καὶ αἰώνιον ἐσκήνωσας ζωήν.

Χερσί σου ἡνίκα ἔσχες κάραν τὴν σὴν, θεασάμενοι οἱ ὄχλοι ἱππεύοντα, ἐξεπλήττοντο τὸ θαῦμα τὸ φρικτόν.

Ὅσοι προσκαλοῦσιν Ὀρθοδόξων τὸ σὸν, πανταχοῦ ὄνομα νόσων ἀπάλλαξον, παρεχόμενος βοήθειαν θερμήν.

Ὕπτιον ὁρῶμεν τὸ μὲν σκῆνος νεκρὸν, ὡς ζῶν δὲ τῇ σῇ δυνάμει ἠφάνισε, τὰς παγίδας τῶν Δαιμόνων καὶ ὀφρύν.

Ἰωσὴφ τὸ σῶφρον, καὶ Εὐαγγελιστοῦ Ἰωάννου παρθενίαν πεπόθηκας, διὸ εἴληφας τὸν στέφανον διπλοῦν.

Ὢ Χαριτοβρύτα Ἱερομονάχους, καὶ τοὺς τὸ σὸν σκῆνος αἴροντας φύλαξον, ἐπισκέπτων ἀβλαβεῖς διηνεκῶς.

Ἄγγελον ἐν εἴδει, ἴδες τοῦ ἀετοῦ ἐπιφέροντος Σταυρὸν τοῖς μετάφρεσι, δι' οὗ ἔγνωκας τὴν ἄνωθεν ζωήν.

Νεῦσον Θωρακίσαι Μυροβλύτα ἡμᾶς, τοῖς ἐκ σῶν λειψάνων ῥείθροις καταβαλὼν, τῶν Δαιμόνων δύναμιν τὴν καθ' ἡμῶν.

Δόξα.

Νοῦς, Λόγε, καὶ Πνεῦμα, Τρισυπόστατον Φῶς, ταῖς λιταῖς τοῦ Βλαδιμήρου κατάπεμψον τὰ ἐλέη σου πλουσίως ἐν ἡμῖν.

Καὶ νῦν.

Ἡ Θεὸν τεκοῦσα ὑπὲρ φύσιν σαρκὶ, δυσωποῦμεν, μὴ ἐλλείπῃς πρεσβεύουσα τὸν Υἱόν σου καὶ Θεὸν ὑπὲρ ἡμῶν.



ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ

ΙΩΑΝΝΗΝ ΤΟΝ ΒΛΑΔΙΜΗΡΟΝ

Ψαλλόμενος ἐν πάσῃ θλίψει καὶ ἀνάγκῃ.
Νέον Ποίημα.

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τό, Κύριε εἰσάκυσον. Θεὸς Κύριος.
Εἶτα Τροπάριον τοῦ Ἁγίου, Ἦχος δ'. πρός, Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ Βλαδιμήρῳ οἱ πιστοὶ νῦν προσδράμωμεν, οἱ ἐν δεινοῖς καὶ συμφοραῖς καὶ προσπέσωμεν, ἐν εὐσεβείᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Ἅγιε βοήθησον, καὶ ἡμᾶς τυραννίας, σπεῦσον ἐκλυτρώσασθαι, δυσμενῶν, καὶ ἀπίστων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενοὺς, ἀλλ' ἐκ παντοίων κινδύνων διάσωσον. Δίς.

Δόξα, καὶ νῦν.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε. Εἶτα τὸν Ν'. καὶ τὸν Κανόνα.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δειναῖς πιεζόμενος συμφοραῖς, πρὸς σὲ ἐπιῤῥίπτω, καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν, ὦ Ἄναξ τρισμάκαρ, καὶ παρθένε, τῶν φοβερῶν, καὶ κακῶν με ἐκλύτρωσαι.

Σαρκός με τοῦ κλύδωνος ἐμβολὴ, μάκαρ Ἰωάννη, ἐκταράττει διηνεκῶς· εἰρήνευσον Μέδων τῇ γαλήνῃ τῇ τοῦ Θεοῦ μεσιτεύων Θεόσοφε.

Δόξα.

Δαιμόνων τὰ στίφη τὰ πονηρὰ, καταπολεμοῦσι, τὸν σὸν δοῦλον ἀνηλεῶς· κατάργησον τούτους τῇ δυνάμει, τῇ τοῦ Σταύρου Στεφηφόρε πανθαύμαστε.

Καὶ νῦν.

Παρθένε ἡ πύλη ἡ τοῦ Θεοῦ, ἄνοιξόν μοι πύλην εὐσπλαγχνίας, καὶ ἐκ πυλῶν τῆς θανατηφόρου ἁμαρτίας, τῇ μητρικῇ παῤῥησίᾳ σου ῥῦσαί με.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Πονηρίας ἀνθρώπων ὀδυνηρῶν πάντοτε, ἀπειλὰς πνεόντων δυσφήμως, σύ με διάσωσον, τὴν θηριώδη αὐτῶν μανίαν διασκεδάσας, Εὐσεβῶν τὸ στήριγμα Μάρτυς πανένδοξε.

Σκαιωρίας ἀπίστων θαυματουργὲ σκόρπισον, καὶ παραπικραίνοντας πάντας, τούτους κατάσφαξον, ἐν τῇ ῥομφαίᾳ τῇ σῇ, τῶν πρεσβειῶν ἡ θερμότης, τῶν Πιστῶν τὸ καύχημα, Ἄναξ Βλαδίμηρε.

Δόξα.

Σωφροσύνῃ εὐῶδει τὴν βδελυρὰν δίωξον, τῶν σῶν θεραπόντων Θεόφρων, πᾶσαν ἀσέλγειαν, τῆς μυροθήκης κρουνοὺς, καθαρωτάτους ἐκβλύζων, Ἀθλητῶν Ὁμόσκηνε τοῦ Παντοκράτορος.

Καὶ νῦν.

Καθαρᾶς παρθενίας ἀποπεσὼν Πάναγνε, ὅλος ἐμολύνθην τῷ πάθει τῆς ἀσωτίας μου. Ἡ τετοκυῖα Κριτὴν, παρανομούντων ἀνθρώπων, πάσης κατακρίσεως, Παρθένε σῶσόν με.

Πρὸς τό, Διάσωσον.

Προστρέχομεν τῇ μυροθήκῃ σου πάντες Σημειοφόρε, εὐωδίας καὶ δωρεῶν πολλῶν ἀπολαύοντες· σὺ πρόμαχος στῆθι καὶ ἀντιλήπτωρ.

Ἀξίωσον τῆς χάριτός σου Βλαδίμηρε θεοφόρε, τὸν σὸν δοῦλον τὸν ταπεινὸν, τῶν νόσων ῥυόμενος, καὶ κάθαρον τῶν παθῶν μου τὸν ῥύπον.

Εἶτα μνημονεύει ὁ Ἱερεὺς ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται, καὶ ψάλλομεν τό, Κύριε ἐλέησον. Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων· καὶ εὐθὺς λέγομεν Τροπάριον.

Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτης θερμὸς, καὶ πύργος ἀπροσμάχητος, ἐδείχθης Σοφὲ τοῖς πίστει ἐκβοῶσί σοι, καὶ σεπτῶς κραυγάζουσιν· Ἀθλητὰ Βλαδίμηρε πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἀεὶ τῇ Τριάδι παριστάμενος.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἰαμάτων χαρίσματα, τῷ σεπτῷ τεμένει σου οἱ προσφεύγοντες, ἀρυόμεθα εὐφρόσυνοι, καὶ δοξάζομέν σε θαυματόβρυτε.

Ἀλβανίας συστήματα, καὶ τῆς Βουλγαρίας σου τὰ πυρσεύματα, ἀντιλήπτορα γινώσκουσι, καὶ σωτῆρα πάντες εὐφημοῦντές σε.

Δόξα.

Τῆς Μυσίας τὰ τάγματα, καὶ Ἰλλυρικοῦ σεπτῶς σοι προσπίπτουσι, τῆς ὑγείας ἀπολαύοντα, καὶ χαρίτων πάντοτε πληρούμενα.

Καὶ νῦν.

Σὺ τὸν νοῦν μου ἐκλάμπρυνον, τὸν ἐσκοτισμένον τοῖς πλημμελήμασιν, ἡ τὸν Ἥλιον κυήσασα τῆς δικαιοσύνης Παναμώμητε.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Φρούρησον ἡμᾶς, ταῖς πρεσβείαις σου Βλαδίμηρε, καὶ τῷ βραχίονί σου τῷ κραταιῷ, πικροὺς τυράννους κατάβαλε ὑπερθαύμαστε.

Δώρησαι ἡμῖν, τὴν ὑγείαν δεομένοις σου, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀεὶ, καὶ τὴν μυρίπνοον ῥῶσιν Μάκαρ πανόλβιε.

Δόξα.

Ἴασαι λαοὺς προσδραμόντας σοι θαυμάσιε, καὶ λοιμικῆς νόσου καὶ πυρετῶν, καὶ ἀλγηδόνων παντοίων ὅλως διάσωσον.

Καὶ νῦν.

Φώτισον Ἁγνὴ τῆς ψυχῆς μου τὴν σκοτόμαιναν, τῆς σῆς λαμπρότητος τῇ μαρμαρυγῇ, τὸ φῶς τεκοῦσα τὸ θεῖον, καὶ προαιώνιον.

Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.

Θαυμάτων σε θησαυρὸν ἐπίσταμαι, καὶ πηγὴν τῶν ἀγαθῶν Ἰωάννη, ἀῤῥωστιῶν ἰατρεύοντα πάθη, καὶ ἐνεργείας Δαιμόνων ἐλαύνοντα, καὶ δέομαι ἀναγαγεῖν ἐκ φθορᾶς με κακῶν Χαριτώνυμε.

Προστάτην σε τῆς Μονῆς κηρύττομεν, καὶ φρουρὸν τῆς Ἀλβανίας Παμμάκαρ, τῶν πειρασμῶν, διαλύοντα ὄχλον, καὶ ἐπηρείας ἀπίστων διώκοντα, καὶ πάντας τοὺς Χριστιανοὺς τῶν δεινῶν λυτρωθῆναι δεόμεθα.

Δόξα.

Λιμένα τὴν σὴν Σορὸν ἐν θλίψεσι, καὶ ἀνάγκαις ἐννοῶ Μυροβλύτα, καὶ παντελῆ συμφορῶν σωτηρίαν, καὶ ποταμὸν δωρεῶν ἀνεξάντλητον, καὶ βρύσιν τῶν εὐωδιῶν, καὶ πηγὴν ἰαμάτων ἀέναον.

Καὶ νῦν.

Θεράπευσον βδελυκτῷ νοσήματι, καὶ ἐμπαίγματι οἰκτρῷ κακωθεῖσαν, τοῦ πονηροῦ τὴν καρδίαν μου ὅλην, καὶ τῆς ἐν σοὶ ἰατρείας ἀξίωσον, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ πεποιθότα δυνάμει σου Πάναγνε.

Εἶτα τὰ Τροπάρια, Προςρέχομεν, καὶ, Ἀξίωσον. Ὁ Ἱερεὺς μνημονεύει ὡς δεδήλωται. Καὶ μετὰ τὴν Ἐκφώνησιν, εὐθὺς τὸ Κοντάκιον.

Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Βασιλείαν λιπὼν τὴν ἐκ γῆς ὦ Πανθαύμαστε, βασιλείας τῆς ἐξ Οὐρανῶν οὐκ ἀπέτυχες, ἀλλ' ἐν μέσῳ τῶν εὐσεβῶν Ἀνάκτων ἐντρυφᾷς· διὸ πρέσβευε ὑπὲρ ἡμῶν ἐπικαλούντων σε ἀεὶ, καὶ πιςῶς κραυγαζόντων σοι· Λύτρωσαι νοσημάτων, καὶ παῦσον ἀμπλακημάτων, τοὺς ἱκετεύοντας θερμῶς, Ἀθλοφόρε καὶ τιμῶντάς σε.

Καὶ εὐθὺς τὸ Προκείμενον,

Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Στίχ. Εὐφρανθήσεται δίκαιος.

Καὶ εὐθὺς τὸ Εὐαγγέλιον Μαρτυρικόν.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων: ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας.

Τέλος· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα. Ἦχος β'.

Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα εἰς Ἦχον πλ. β'. Ἐλέησόν με ὁ Θεός. Μὴ καταπιστεύσῃς με.

Μὴ ἀποστερήσῃς με τῆς φρικτῆς σου προςασίας, Ἀθλητὰ Βλαδίμηρε, ἀλλὰ θραῦσον δέομαι τῇ ἰσχύϊ σου θράσῃ ἀνίσχυρα, καὶ μηχανήματα τῶν Δαιμόνων τὰ τοξεύματα, νόσων ἀπάλλαξον, καὶ πάσης ἀνάγκης καὶ θλίψεως, πάντοτε ἐλευθέρωσον, καὶ τοὺς τυραννοῦντας δεινῶς δυνάστας, κάθελε τῶν θρόνων, καὶ ὕψωσον πιστοὺς καὶ ταπεινοὺς, τῇ σῇ πρεσβείᾳ μακάριε Ἄναξ εὐκλεέστατε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὴν ψυχὴν θυμηδίας, καὶ χαρᾶς ἁπάσης ἀνάδειξον ἔμπλεων, θεόφρων Ἰωάννη, τῶν σὲ ἐπικαλούντων, καὶ βοᾶν ἀεὶ δίδαξον· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Λαμπρυνθεὶς τῷ σῷ πάθει, σκοτισθέντα με ἁμαρτήμασι λάμπρυνον, τὸν πόθῳ προσιόντα, τῇ σῇ φωταγωγίᾳ, καὶ κραυγάζειν ἀξίωσον· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Πειρασμῶν, καὶ κινδύνων, καὶ ἀνάγκης καὶ θλίψεως ἐλευθέρωσον, καὶ βλάβης τῶν Δαιμόνων, τοὺς τῇ σκέπῃ σου θαῤῥοῦντας, καὶ ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν.

Τῶν ἀνθρώπων ὁ πλάστης ἐν γαστρί σου σκηνώσας Θεοχαρίτωτε, ἁπάντων προστασίαν, τῶν ζάλαις κλονουμένων καὶ βοώντων δεικνύει σε· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοῖς ποντουμένοις βιωτικαῖς τρικυμίαις, χεῖρα δίδου Παμμάκαρ ὑμνοῦσι, καὶ ὑπερυψοῦσι Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν σῶν λειψάνων τῶν θεαυγῶν ἁπτομένους, εὐωδίας ἐκπλήρωσον θείας, Κύριον ὑμνοῦντας πιστῶς εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα.

Τοὺς δεομένους ἐκτενῶς Μυροβλύτα, καὶ τὴν χάριν αἰτοῦντας προσδέχου, καὶ δοξολογοῦντας Θεὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Τῶν μολυσμάτων μου τὴν καρδίαν Παρθένε, μετανοίας καθάρισον νίπτροις, ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἀστέρα Ἰωάννη, σὲ σημειοφόρε, ὁμολογοῦμεν φωσφόρον αὐγάζοντα, τοὺς εὐσεβεῖς ὀρθοδόξως Χριστῷ λατρεύοντας.

Ἐν σάλῳ Ἀθλοφόρε, τοῖς κυματουμένοις πολλῶν κακῶν σοῖς ἱκέταις βοήθησον, διασκεδάζων ἀνέμους τοῦ πολεμήτορος.

Δόξα.

Τὴν δέησίν μου δέξαι, τοῦ ταπεινωθέντος, καὶ χαλεπῶν Ἀθλοφόρε κακώσεων, καὶ ἁμαρτίας ἁπάσης με ἐλευθέρωσον.

Καὶ νῦν.

Ἐλπίδα σωτηρίας τῶν ἐκπεπτωκότων, αἱ γενεαὶ Θεοτόκε γινώσκουσι, διὰ παντὸς ὁμοφώνως σὲ μακαρίζουσαι.

Εἶτα ἀσπαζομένων τῶν Ἀδελφῶν τὸ ἅγιον Λείψανον, ψάλλομεν τὰ παρόντα. Ποίημα τοῦ αὐτοῦ Θεοδώρου.

Πρὸς, Πᾶσαι τῶν Ἀγγέλων.

Τοὺς συναθροισθέντας τῷ σῷ Ναῷ, ἀοράτων πάντας, ὁρατῶν τε ἐπιβουλῆς, ἡμᾶς τυραννούντων δεόμεθα ῥυσθῆναι, ὑπὸ τῆς χάριτός σου σοφὲ Βλαδίμηρε.

Τὸν στερὸν ὁπλίτην καὶ ἀθλητὴν, ὑπὲρ εὐσεβείας, ἀδαπάνητον θησαυρὸν, τὸν ἐν Βασιλεῦσιν ἅμα καὶ μυροβλύταις, τὸν θεῖον Ἰωάννην πόθῳ ὑμνήσωμεν.

Τὰ πεπυρωμένα βέλη ἐχθροῦ, ἔνεδρα παγίδας διασκέδασον ἐξ ἡμῶν, τῇ δυνάμει Μάκαρ ἐκ Θεοῦ σοὶ δοθείσῃ, ὅπως τούτων ῥυσθέντες σὲ μεγαλύνωμεν.

Φρίττομεν ὁρῶντες θαῦμα φρικτὸν τοῦ Σκουμβίου ῥεῦμα, ἀπεστράφη ὀπίσω γὰρ, Ἰορδάνου ῥεῖθρον μιμούμενον εἰσῆλθε, τῇ λειψάνων σου θήκῃ ἐν τῇ Κουσσίας ῥοῇ.

Τὰ τοῦ Βλαδιμήρου ἂν βούλωμαι θαύματα συγγράψαι, τῷ τὰ ἄστρα μετρίσοντι ὅμοιος τυγχάνω· ταῦτο ἀρκεῖμοι μόνον εἰπεῖν σὺν πᾶσι· Χαῖρε Ἄναξ πανθαύμαστε.

Τὸν ἀςέρα πάντες τὸν φαεινὸν, τὸν ἐκ Βλαδιμήρυ ἀπαςράψαντα νοητῶς, Μαρτύρων τὸ κλέος, καὶ Βασιλέων δόξαν, τὸν θεῖον Γωάννην ὕμνοις τιμήσωμεν.

Καὶ τὸ, Πᾶσαι τῶν Ἀγγέλων. Τὸ Τρισάγιον.

Καὶ, Τὸν Σταυρὸν τὸν ὀφθέντα σοι.

Καὶ μνημονεύων ὁ Ἱερεὺς, γίνεται Ἀπόλυσις.

ΤΕΛΟΣ.



Τὰ παρόντα ὑπάρχουσι γεγραμμένα ἐπάνω τῆς θύρας τοῦ Ναοῦ.

Χρὴ γινώσκειν, ὅτι ὁ Ναὸς οὗτος κατελύθη ἀπὸ σεισμοὺς παντελῶς ἕως θεμελίυ εἰς τὴν διακράτησιν· καὶ ἐν ἡμέραις αὐθεντεύοντος πάσης χώρας Ἀλβάνου, τοῦ πανυψηλοτάτου πρώτου Κάρλα Θεωπία, ἀνεψιοῦ δὲ καὶ ἐξ αἵματος Ῥηγὸς τῆς Φραγγίας, αὐτὸς ἀνῳκοδόμησε τὸν πάνσεπτον Ναὸν τοῦτον τοῦ ἁγίου Ἰωάννου τοῦ Βλαδιμήρου, τοῦ θαυματουργοῦ, καὶ ἀνήγειρεν αὐτὸν ἐκ βάθρων μέχρι τέλους, ἐκ πίστεως καὶ ζεούσης καρδίας. Ἀπὸ Χριστοῦ γεννήσεως, ἕως οἰκοδομήσεως τοῦ Ναοῦ, ἔτη ατπ΄. ἀπὸ δὲ κτίσεως Κόσμου εἰσὶν, ςωϥ΄. αὐθεντεύοντος δὲ ἕως τότε, κβ΄. ἔτους Γνδικτιῶνος, Ἡλίου Κύκλ. α΄. Σελήνης Κύκλ. ιδ΄. ἐκτίσθη ὁ Ναός. Ὥρας ιδ΄. μέγιςος τὸ ὕψος· ἀπαραλλάκτως εἰσὶν ὅτω γεγραμμένα.

